This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

751kn
P996

UC-NRLF
$B 275 836

UNIV. OF
CALIFORNIA

ΠΑΡΑΒΟΛΗ

ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΠΡΟΣ

ΠΛΑΤΩΝΑ ΞΕΝΟΦΩΝΤΑ

ΔΗΜΟΣΘΕΝΗ ΚΑΙ ΑΙΣΧΙΝΗΝ

Διδακτορική Διατριβή

ΔΙΟΝΥΣΙΟΥ Γ. ΠΥΛΑΡΙΝΟΥ

ΖΑΚΥΝΘΙΟΥ.

ΓΑΛΑΖΙΟΝ
Τυπο-Λιθογραφεῖον „Παλασέσκου"
1887.

ΤΩι ΚΥΡΙΩι

ΚΩΝΣΤΑΝΤΙΝΩι ΒΑΛΣΑΜΑΚΗι

ΠΡΟΕΔΡΩι ΤΗΣ ΕΝ ΓΑΛΑΖΙΩι ΕΛΛΗΝΙΚΗΣ ΚΟΙΝΟΤΗΤΟΣ

ΕΙΣ ΕΞΑΙΡΕΤΟΥ ΥΠΟΛΗΨΕΩΣ ΕΝΔΕΙΞΙΝ

ΤΑΣ ΔΕ ΤΑΣ ΑΠΑΡΧΑΣ

Ἀνατίθησιν

Ο ΣΥΓΓΡΑΨΑΣ

745091

ΒΙΟΓΡΑΦΙΑ
ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Δίων ὁ Πασικράτους, Χρυσόστομος παρὰ τῶν συγχρόνων αὐτοῦ ἐπικληθεὶς καὶ παρὰ τοῦ φίλου αὐτοῦ Νέρβα, κατὰ τὸ τῶν Ρωμαίων ἔθος, Κοκκεγιάνος ἐπονομασθείς, ἐγεννήθη ἐν Προύσῃ τῆς Βιθυνίας περὶ τὰ μέσα τῆς 1ης ἑκατονταετηρίδος μ. Χ. ἐξ ἐπιφανοῦς οἴκου καὶ πολλὰ τὴν πατρίδα τῇ τῶν αὐτοκρατόρων εὐνοίᾳ εὖ ποιήσαντος (Λογ. 45). Περὶ τῶν πρώτων αὐτοῦ σπουδῶν οὐδὲν γνωστὸν ἡμῖν γίγνεται, ἐκ τῶν λόγων αὐτοῦ ὅμως ἐμφαίνεται, ὅτι ταῖς ρητορικαῖς καὶ εἶτα ταῖς φιλοσοφικαῖς μελέταις ἐπιμελῶς ἐνέδωκεν. Ὡς φιλόσοφος οὐδενὶ φιλοσοφικῷ συστήματι ἀνῆκεν, ἀλλὰ μᾶλλον τῷ Κυνικῷ ἀπέκλινεν. Ὁ Nicolai ἐν τῇ αὐτοῦ Griechische Literaturgeschichte καὶ ὁ Kayser ἐν τῷ Βίοι Σοφιστῶν, ἐκ τοῦ λόγου αὐτοῦ »πρὸ τοῦ φιλοσοφεῖν ἐν τῇ πατρίδι«, ἔνθα λογον ποιεῖται περὶ στάσεώς τινος ἐν Προύσῃ γενομένης, καθ' ἣν καὶ ὁ οἶκος αὐτοῦ ἠπειλεῖτο, νομίζουσιν, ὅτι τότε ἐξεδιώχθη τῆς πατρίδος καὶ μετέβη εἰς Ρώμην, καὶ οὕτω δέχονται δύο φυγὰς αὐτοῦ μίαν ἐκ τῆς ἑαυτοῦ πατρίδος καὶ ἑτέραν ἐκ Ρώμης, περὶ ἧς καὶ αὐτὸς ἀλλαχοῦ λόγον ποιεῖται. Πλανῶνται ὅμως ὅτε Nicolai καὶ ὁ Kayser δεχόμενοι φυγὴν αὐτοῦ ἐκ τῆς πατρίδος, περὶ ἧς αὐτὸς ἐν τοῖς λόγοις αὐτοῦ, οὓς ἐν τῇ πατρίδι ἐξεφώνησεν, ἐν οἷς καὶ πολλὴν αἰτίαν εἶχε καὶ ταύτης μνημονεῦσαι, οὐδὲν λέγει· οὐ μὴν ἀλλὰ

καὶ ἐξ αὐτοῦ τοῦ λόγου τοῦ Δίωνος ἐξελέγχονται οὗτοι σφαλλόμενοι, ἐξ οὗ τὰς περὶ τῆς φυγῆς αὐτοῦ ἀποδείξεις αὐτῶν ἀρύονται· ἐνταῦθα λόγου γενομένου, ὅτι ἔδραμον αὐτὸν κακῶς ποιῆσαι καὶ τὴν ἑαυτοῦ οἰκίαν κατακαῦσαι, καὶ ὅτι ἡ θέσις τῆς οἰκίας ἐκώλυσεν αὐτοὺς τούτου, ἕπεται »ἤρκει δέ μοι τὴν γυναῖκα καὶ τὸ παιδίον λαβόντα ἀποχωρεῖν. Ἐν τῷδε τῷ χωρίῳ, ἐξ οὗ οὗτοι τὴν φυγὴν τεκμαίρονται, οὐδὲν γεγονός, ὡς φανερόν, λέγει Δίων ὁ Χρυσόστομος, ἀλλ'ὑποθετικῶς ὁμιλεῖ τουτέστιν εἰ τὴν ἐμὴν οἰκίαν κατακάαιτε, ἤρκει μοι τὴν γυναῖκα καὶ τὸ παιδίον λαβόντα ἀποχωρεῖν, ἀλλ'οὐδὲν τοιοῦτον ἐγένετο, διότι αὐτὸς ἀνωνέρω λέγει, ὅτι ἡ θέσις τῆς οἰκίας ἐκώλυσεν αὐτοὺς τούτου, ἄρα οὐκ ἀπῆλθεν. Τὴν εἰς Ῥώμην οὖν μετάβασιν τοῦ ἀνδρὸς οὐ δίκαιον ἐξορίαν ἢ φυγὴν ἀποκαλέσαι, ὡς οὗτοι, ἀλλ'ἑκούσιον ἐκεῖσε ἀποδημίαν, ὡς ἔθος ἦν παρὰ τοῖς τότε πλουσίοις καὶ πεπαιδευμένοις Ἕλλησιν. Ἐν Ῥώμῃ διατρίβων ἠναγκάσθη ἐπὶ τῆς αὐτοκρατορίας τοῦ Δομιτιανοῦ ν'ἀπέλθῃ τῆς Ῥώμης. Ὁ Φιλόστρατος λέγει, ὅτι οὐ προσετάχθη αὐτῷ φυγή, ἀλλ'ὅτι ἑκουσίως ἀπῆλθε τῆς Ῥώμης, ὁ δὲ Emperius ἐν τῷ Opuscula Philogica, ἔνθα περὶ τῆς ἐξορίας τοῦ Δίωνος λόγον ποιεῖται, ἀνακηρύττει ἀναφανδὸν τὴν τοῦ Φιλοστράτου γνώμην ψευδεστάτην. Ὁ Emperius οὐκ ὀρθῶς ἡγεῖται, τὴν τοῦ Φιλοστράτου γνώμην ἀπορριπτέαν, ᾗ συμμαρτυροῦσι καὶ οἱ λόγοι αὐτοῦ τοῦ Δίωνος, οὓς πρὸς τοὺς συγχρόνους αὐτοῦ Ἀθηναίους ἔλεγεν,ἐν οἷς οὐχ οἷός τὴν ψευσθῆναι, πρὸς εἰδότας ὁμιλῶν. Ἐν τῷ »ἐν Ἀθήναις περὶ τῆς φυγῆς« λόγῳ αὐτοῦ, μνημονεύων τῆς αἰτίας, ὅτι ἔφυγε, φιλίας ἕνεκεν λεγομένης ἀνδρὸς οὐ πονηροῦ, τῶν δὲ τότε εὐδαιμόνων τε καὶ ἀρχόντων ἐγγύτατα ὄντος, οὗ θάνατος κατεγνώσθη, λέγει« τότε δ'οὖν, ἐπεί με φεύγειν ἔδοξεν». Ἔδοξεν οὖν αὐτῷ φεύγειν, λέγει αὐτὸς ὁ ἴδιος πρὸς τοὺς Ἀθηναίους. καὶ οὐχὶ προσετάχθη ἤ τι τοιοῦτον. Κατ'ἀκολουθίαν ὀρθότατα λέγει ὁ Φιλόστρατος, ὅτι οὐ προσετάχθη

αὐτῷ φυγή, ἀλλ'ὅτι ἑκουσίως ἐκ Ῥώμης ἔφυγεν, φοβηθείς, μὴ καὶ αὐτοῦ, καταστάντος ὑπόπτου, ἕνεκεν τῆς φιλίας τοῦ φονευθέντος ἀνδρός, θάνατος καταγνωσθῇ. Ἀπελθὼν τῆς Ῥώμης μετέβη τὸ μαντεῖον τῶν Δελφῶν ἐπερωτήσων, ὃ ἀνεῖλεν αὐτῷ τοῦνο πράττειν ἐν ᾧ ἔστι πάσῃ προθυμίᾳ, ὡς καλήν τινα καὶ συμφέρουσαν πρᾶξιν, ἕως ἂν ἐπὶ τὸ ὕστατον ἀπέλθῃ τῆς γῆς (13,221). Τοῦ Kayser μὴ τολμῶντος τοῖς λόγοις τούτοις τοῦ Δίωνος πίστιν δοῦναι, ἀγνοῶ παντάπασι πόθεν τὸν δισταγμὸν τοῦτον ἀρύεται· μὴ οὐκ ἔθος ἦν τὸ μαντεῖον ἐπερωτᾶν; μὴ οὐχ οἷόν τ'ἦν οὕτως ἡ πυθία ἀνελεῖν; ἐπειδὴ καὶ τὸ μέν, καὶ τὸ ἕτερον καὶ σύνηθες καὶ δυνατὸν ἦν, καὶ οὐδέν ἐστι τὸ τούτοις ἀντιλέγον, οὐδόλως ὀκνητέον τοῖς τοῦ Δίωνος λόγοις πίστιν διδόναι. Πειθόμενος οὖν τοῖς ῥήμασι τοῦ μαντείου καὶ στολὴν ταπεινὴν ἀναλαβὼν καὶ τἄλλα κολάσας αὐτὸν ἔφευγεν καὶ πανταχοῦ ἠλᾶτο μέχρι τοῦ Ἴστρου καὶ τῆς Γετῶν χώρας καὶ ἐντεῦθεν συνέβη αὐτῷ τῆς τοῦ φιλοσόφου ἐπωνυμίας τυχεῖν (13,221,222). Κατὰ τὴν αὐτοῦ φυγὴν καὶ ἐν Βορυσθένει διέτριψεν, ἔνθα φιλικώτατα ἐξενίσθη, περὶ οὗ ἐν τῷ ὁμωνύμῳ λόγῳ αὐτοῦ μνείαν ποιεῖται (36). Ἀποθανόντος τοῦ Δομιτιανοῦ καὶ τὴν ἐξουσίαν τοῦ Νέρβα λαβόντος, ἐπανῆκε Δίων ὁ Χρυσόστομος εἰς τὴν Ῥώμην, παρὰ τοῦ φίλου αὐτοῦ Νέρβα προστατευόμενος, ὅτε καὶ Κοκκιγιάνος παρ'αὐτοῦ ἐπωνομάσθη, καὶ τῆς εὐνοίας τοῦ αὐτοκράτορος ἔτυχεν· ἧς φιλίας καὶ εὐνοίας ἕνεκα ἡ πατρὶς αὐτοῦ πλεῖστα εὖ ἔπαθεν, ἐπεὶ καὶ βουλὴν αὐτῇ ἐξ ἑκατὸν βουλευτῶν ἔχειν ἐξῆν (45,516), καὶ προσόδων ἰδίων τυχεῖν καὶ συνοικισμὸν αὐτῆς γενέσθαι (45,517). Ἐν Ῥώμῃ ἐφ'ἱκανὸν χρόνον διατρίψας ἐν πολυαρίθμοις φίλοις, ἐν οἷς ὅτε Φαβωρῖνος καὶ Πλούταρχος συγκαταλέγεται, ὧν τῇ παρακλήσει καὶ δημοσίᾳ ἐν Ῥώμῃ ὡμίλει, (13,227), ἔδοξεν αὐτῷ εἰς τὴν ἑαυτοῦ πατρίδα ἐπανελθεῖν, ἔνθα οἱ πολῖται αὐτοῦ ἐξαιρέτους τιμὰς αὐτῷ ἀπέδω-

καν καὶ ἄρχοντα αὐτὸν ἐξελέξαντο, ἧς ἀρχῆς ὅμως παρῃτήσατο (49). Οὐ μὴν ἀλλὰ καὶ οἱ Νικομηδεῖς καὶ οἱ Ἀπαμεῖς καὶ πλεῖσται ἄλλαι πόλεις, ὅπου γέγονε, καὶ πολιτείας καὶ βουλῆς καὶ τῶν πρώτων τιμῶν μετέδωκαν (38 κ. 41). Ἐν τοῖς λόγοις αὐτοῦ μανθάνομεν τὸν ἄνδρα μετριώτατα φρονοῦντα (12,195.196. 197. 198—13,227—19,261—35,429—42,503—47, 522), ἀεὶ ἰδιωτεύοντα διατελοῦντα, οὐδένα μαθητὴν ἔχοντα καὶ οὐδεμίαν τέχνην ἢ ἐπιστήμην ἐπαγγελλόμενον (12,197), ὑπὲρ οὐδενὸς εἰπόντα ἢ ἑνὸς ἀνθρώπου δυστυχοῦς, ὅν ἐκώλυσεν ὑπὸ τῶν συγγενῶν καὶ τῶν ἐπιτρόπων διασπασθῆναι (43,506), ὑπὲρ ἄγαν τὴν ἑαυτοῦ πατρίδα ἀγαπῶντα (44) καὶ οὐχὶ ἐπιτηδείως πρὸς τὸ θεραπεύειν τοὺς ὄχλους ἔχοντα, οὐδὲ ἕτοιμον πρὸς τὸ ταῖς ὁρμαῖς αὐτῶν ἁπάσαις ὑπηρετεῖν, οὐδὲ συμποτικὸν ὄντα, οὐδὲ κοινὸν ἐν ταῖς τοιαύταις συνουσίαις, ὥστε ἀπό γε τούτου παρέχειν τοῖς πλήθεσιν ἡδονήν.

Περὶ τοῦ θανάτου αὐτοῦ ἄλλος ἄλλην γνώμην ἔχει. Ὁ μὲν Nicolai εἰκάζει, ὅτι πιθανὸν ἐν τῇ ἑαυτοῦ πατρίδι ἀπέθανεν, ὁ δὲ Pauly ἐν τῇ Real-Encyclopädie, ἐν λέξει Δίων, ὅτι ἐπέστρεψεν εἰς Ῥώμην καὶ ἐκεῖ ἀπέθανεν, ὁ δὲ Kayser, ὅτι ἄγνωστον ἡμῖν ἐστι ποῦ οὗτος ἀπέθανεν. Ἐν τοῖς αὐτοῦ λόγοις, οὓς ἐν τῇ πατρίδι ἐπανήκων ἀπήγγειλεν, οὐδένα οὐδέποτε σκοπὸν αὐτοῦ πρὸς ἐπιστροφὴν εἰς Ῥώμην ἐκτίθησιν, ὥστε πιστεῦσαι τῷ Pauly, ὅτι ἀπανῆκεν εἰς Ῥώμην καὶ ἐκεῖ ἀπέθανεν, οὐδὲ ἄλλοθέν ποθεν τοιαύτην εἴδησιν ἔχομεν. Τὸ ἐν 49,540 χωρίον, τὸ ἔχον ὧδε «οὔτε γὰρ ἐμοὶ οὔτε ἴσως ὑμῖν ἄμεινόν ἐστιν ἐμὲ διατρίβειν ἐνθάδε» ἐξ οὗ ἴσως ὁ Pauly πλανᾶται, οὐδόλως εἰς τὴν ἑαυτοῦ πατρίδα ἀναφέρεται, ἀλλ'εἰς τὸ βουλευτήριον, τουτέστι Δίων ὁ Χρυσόστομος διὰ τοῦ «ἐνθάδε» ἐννοεῖ τὸ βουλευτήριον, ἐν ᾧ ἦν καὶ ὡμίλει καὶ τοσούτῳ μᾶλλον, ὅσῳ ἐν τῷδε τῷ λόγῳ ὁμιλεῖ περὶ τῆς παραιτήσεως αὐτοῦ τῆς ἀρχῆς, δι' ὃ καὶ ἀνωτέρω λέγει, ὅτι πρότερον πλείους ἀσχολίαι

κατέσχον αὐτόν, τὸ δὲ νῦν οὐκέτι ἐγχωρεῖ σχεδόν· οὔτε γὰρ ἐμοὶ οὔτε ἴσως ὑμῖν ἄμεινόν ἐστιν ἐμὲ διατρίβειν ἐνθάδε· ὥστε παραιτοῦμαι τὴν ψῆφον· δηλαδὴ λέγει. ὅτι πρότερον, ὅτε ἠδύνατο τῆς ἀρχῆς μετασχεῖν πλείους ἀσχολίαι κατέσχον αὐτὸν νῦν δ'ὅμως οὐκέτι ἐγχωρεῖ σχεδόν, τοὐτέστιν οὐ δύναται πλέον ἕνεκα τῆς ἡλικίας καὶ ἀσθενείας τοῦ σώματος, δι' ὃ καὶ λέγει παραιτούμενος τῆς ἀρχῆς, ὅτι οὔτε αὐτῷ, οὔτε αὐτοῖς ἴσως ἄμεινον αὐτὸν ἐν τῷ βουλευτηρίῳ (ἐνθάδε) διατρίβειν. Ἐπεὶ δὲ οὐδεμίαν ἄμεσον ἀπόδειξιν ἔχομεν περὶ τῆς εἰς Ρώμην ἐπανόδου αὐτοῦ καὶ ἐν τῷ 40 αὐτοῦ λόγῳ βλέπομεν αὐτὸν ἐκδηλοῦντα τὴν ἐπιθυμίαν, τοῦ πρόνοιάν τινα ποιήσασθαι τοῦ σώματος, ἐκ πολλῆς καὶ συνεχοῦς ταλαιπωρίας ἀπειρηκότος, καὶ τῶν περὶ τὴν οἰκίαν κομιδῇ φαύλως διακειμένων, ἃ τοσοῦτον ἀπολωλότα χρόνον οὐδεμιᾶς ἐπανορθώσεως τετύχηκε, βέβαιοί ἐσμεν, ὅτι οὐκ ἐπανῆκεν εἰς Ρώμην, ἀλλ'ὅτι ἐν τῇ ἑαυτοῦ πατρίδι διέμεινε καὶ πρὸς τὴν ἑαυτοῦ καὶ τῆς οὐσίας αὐτοῦ θεραπείαν καὶ ἐκεῖ ἀπέθανεν.

ΚΕΦ. Α!

Ἐκ τῶν συγγραμμάτων Δίωνος τοῦ Χρυσοστόμου ὀγδοήκοντα λόγοι μέχρις ἡμῶν ἀφίκοντο, ὧν ὑπόθεσίς ἐστιν ἱστορική, πολιτική, φιλοσοφική καὶ μυθική. Οἱ λόγοι αὐτοῦ, ὧν τινες καὶ ιδαλογικῶς γεγραμμένοι εἰσίν, οὐδένα προτότυπον χαρακτῆρα φέρουσιν, ἀλλ'εἰσὶν ἀπαύγασμα τῶν συγγραμμάτων τοῦ Πλάτωνος, Ξενοφῶντος, Δημοσθένους καὶ Αἰσχίνου, ὅπερ καὶ αὐτὸς ὁμολογεῖ ἐν τῷ »Ὀλυμπικὸς ἢ περὶ τῆς πρώτης τοῦ Θεοῦ ἐννοίας« λέγων „τοῦτο μόνον οἶμαι χρήσιμον ἔχειν τὸ γιγνώσκειν τοὺς σοφούς τε καὶ δεινοὺς καὶ πάντα ἐπισταμένους“. Ὅθεν συνέγραψεν εἴκοσι καὶ ἕνα διαλόγους, τινὰς μὲν κατὰ Πλατωνικὸν τρόπον, τινὰς δὲ κατὰ Ξενοφώντειον. Ὁ περὶ **Βασιλείας** 6! ἐστὶν ἀπομίμησις τῆς τοῦ Ξενοφῶντος Κύρου Παιδείας, ὥςπερ γὰρ ἐνταῦθα ὁ Ξενοφῶν διὰ τῶν συνδιαλέξεων τοῦ Κύρου μετὰ τοῦ πάππου αὐτοῦ Ἀστυάγους τὴν εἰκόνα αὐτοῦ γράφει καὶ τοῖς ὄμμασι τῶν ἀναγνωστῶν παρουσιάζει, οὕτω καὶ Δίων ὁ Χρυσόστομος ἐν τῷδε τῷ λόγῳ φανερὰν ἡμῖν ποιεῖ τὴν τοῦ Ἀλεξάνδρου ἐκ τοῦ διαλόγου μετὰ Φιλίππου τοῦ πατρὸς αὐτοῦ. Τοὺς λόγους αὐτοῦ Δίων ὁ Χρυσόστομος „Περὶ Βασιλείας Δ!, Διογένης ἢ περὶ Τυραννίδος, Διογένης ἢ περὶ Ἀρετῆς, Διογένης ἢ Ἰσθμικὸς καὶ Διογένης ἢ περὶ Οἰκετῶν« ἐν οἷς τὰς γνώμας καὶ διδασκαλίας τοῦ Σινωπέως Διογένους διδάσκει, πάντως, ὡς ἐγὼ οἶμαι, τὰ Ἀπομνημονεύματα τοῦ Ξενοφῶντος μιμούμενος συνέγραψε, δι'ὧν οὗτος τὰς τοῦ Σωκράτους ἡμῖν μεταβιβάζει. Ἐν τοῖς φιλοσοφικοῖς καὶ ἠθικοῖς αὐτοῦ λόγοις πλείστας ἰδέας Πλατωνικὰς καὶ Ξενοφωντείους παραλαμβάνων διδάσκει· οἷον ὁ Ξε-

νοφῶν λόγον περὶ φιλίας ποιούμενος ἐν τοῖς Ἀπομν. 1, 2, 7, ἀποφαίνεται ταύτην μέγιστον κέρδος παρέχουσαν, λέγων:

»Ἐθαύμαζε δ'εἴ τις ἀρετὴν ἐπαγγελλόμενος ἀργύριον πράττοιτο καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν φίλον ἀγαθὸν κτησάμενος.«

Καὶ ἐνταῦθα ἐν 2, 4, 1 καὶ 2 διαρρήδην ἀποφαίνεται ταύτην πάντων κτημάτων κράτιστον καὶ ἄριστον, λέγων:

»Τοῦτο μὲν γὰρ δὴ πολλῶν, ἔφη, ἀκούειν, ὡς πάντων κτημάτων κράτιστον εἴη φίλος σαφὴς καὶ ἀγαθός.«

»Φίλον δέ, ὅ μέγιστον ἀγαθὸν εἶναί φασιν.« Καὶ ὁ Πλάτων τὰ αὐτά που περὶ αὐτῆς ἐν Λυσ. 211 Ε. λέγει:

»Πρὸς δὲ τὴν τῶν φίλων κτῆσιν πάνυ ἐρωτικῶς, καὶ βουλοίμην ἄν μοι φίλον ἀγαθὸν γενέσθαι μᾶλλον ἢ τὸν ἄριστον ἐν ἀνθρώποις ὄρτυγα ἢ ἀλεκτρυόνα, καὶ ναὶ μὰ Δία ἔγωγε μᾶλλον ἢ ἵππον τε καὶ κύνα· οἶμαι δέ, νὴ τὸν κύνα, μᾶλλον ἢ τὸ Δαρείου κτήσασθαι δεξαίμην πολὺ πρότερον ἑταῖρον, μᾶλλον ἢ αὐτὸν Δαρεῖον.«

Καὶ Δίων ὁ Χρυσόστομος ἐν I, 7,18 λέγει:

»Ἀποστερῶν δ'ἑαυτὸν τοῦ καλλίστου καὶ ὠφελιμωτάτου κτήματος φιλίας.«

Ἐν I. 55, 8: »φιλίαν γε μὴν ἁπάντων νενόμικε τῶν αὑτοῦ κτημάτων κάλλιστον καὶ ἱερώτατον.«

Ἐν I. 56,20: »μόνῃ δὲ τῇ φιλίᾳ συμβέβηκεν ἁπάντων μὲν εἶναι συμφορώτατον, ἁπάντων δὲ ἥδιστον.«

Ἔτι δ'ὁ Ξενοφῶν ἐν τοῖς Ἀπομνημ. 2,4,5 κ. ἑ. παραβάλλων τὸν ἀγαθὸν φίλον πρὸς τὰ λοιπὰ κτήματα λέγει:

»Καίτοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς οὐκ ἂν πολλῷ κρείττων φανείη; ποῖος γὰρ ἵππος ἢ ποῖον ζεῦγος, οὕτω χρήσιμον, ὥςπερ ὁ χρηστὸς φίλος; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμόνιμον; ἢ ποῖον ἄλλο κτῆμα

οὕτω πάγχρηστον; ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ καὶ τῆς τῶν ἰδίων κατασκευῆς καὶ τῆς τῶν κοινῶν πράξεως. κἄν τέ τινα εὖ ποιῆσαι δέῃ, συνεπισχύει· ἐάν τε φόβος ταράττῃ, συμβοηθεῖ, τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων, καὶ τὰ μὲν συμπείθων, τὰ δὲ βιαζόμενος, καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ πλεῖστα ἐπανορθῶν· ἃ δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι καὶ οἱ ὀφθαλμοὶ προορῶσι καὶ τὰ ὦτα προακούουσι καὶ οἱ πόδες διανύτουσι, τούτων φίλος εὐεργετῶν οὐδενὸς λείπεται· πολλάκις δὲ ἃ πρὸ αὑτοῦ τις ἢ οὐκ ἐξειργάσατο ἢ οὐκ εἶδεν ἢ οὐκ ἤκουσεν ἢ οὐ διήνυσε, ταῦθ' ὁ φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν.«

Τὴν παραβολὴν τῶν μελῶν τοῦ σώματος πρὸς τοὺς φίλους εὑρίσκομεν καὶ ἐν τῇ Κύρου Παιδείᾳ τοῦ Ξενοφῶντος 8, 2, 10 κ. ἑ. ἔχουσαν οὕτω: »κατεμάθομεν δὲ ὡς καὶ τοὺς βασιλέως καλουμένους ὀφθαλμοὺς καὶ τὰ βασιλέως ὦτα οὐκ ἄλλως ἐκτήσατο ἢ τῷ δωρεῖσθαί τε καὶ τιμᾶν.«

Ἐκ τούτου δὴ καὶ πολλοὶ ἐνομίσθησαν βασιλέως ὀφθαλμοὶ καὶ πολλὰ ὦτα· εἰ δέ τις οἴεται ἕνα αἱρετὸν εἶναι ὀφθαλμὸν βασιλεῖ, οὐκ ὀρθῶς οἴεται.

»Οὕτω δὴ πολλὰ μὲν βασιλέως ὦτα, πολλοὶ δὲ ὀφθαλμοὶ νομίζονται καὶ φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ, ὥςπερ αὐτοῦ ἀκούοντος, καὶ ποιεῖν ἃ μὴ σύμφορα, ὥσπερ αὐτοῦ παρόντος· οὔκουν ὅπως μνησθῆναι ἄν τις ἐτόλμησε πρός τινα περὶ Κύρου φλαῦρόν τι, ἀλλ' ὡς ἐν ὀφθαλμοῖς πᾶσι καὶ ὠσὶ βασιλέως τοῖς ἀεὶ παροῦσιν οὕτως ἕκαστος διέκειτο.«

Καὶ ὁ Δίων Χρυσόστομος ἐν τῷ I. 7, 19 λέγει: »τίς μὲν γὰρ ἀοκνότερος πονεῖν, ὅταν τούτου καιρὸς ᾖ, φίλου; τίς δὲ συγχαίρειν ἑτοιμότερος ἐν ταῖς εὐτυχίαις; τίς δὲ δυσχεραίνειν ἑτοιμότερος ἐν ταῖς ἀτυχίαις; ὁ παρὰ τίνος δὲ ἔπαινος ἡδίων ἢ τῶν φίλων; παρὰ τίνος δὲ τἀληθὲς ἀλυπότερον; τίς δὲ φρουρά, ποῖα δὲ ἐρύματα, ποῖα δὲ ὅπλα βεβαιότερα καὶ κρείττω τῆς ἀπὸ τῶν

εὐνοούντων φυλακῆς; ὁπόσους γὰρ ἄν τις ᾖ κεκτημένος ἑταίρους, τοσούτοις μὲν ὀφθαλμοῖς ἃ βούλεται ὁρᾷ, τοσαύταις δὲ ἀκοαῖς ἃ δεῖ ἀκούει, τοσαύταις δὲ διανοίαις διανοεῖται περὶ τῶν συμφερόντων.«

Καὶ ἐν I. 58, 5 παραβάλλων τοὺς φίλους πρὸς τὰ μέλη τοῦ σώματος λέγει:

Οἱ δὲ ὀφθαλμοὶ καὶ ὦτα καὶ γλῶσσα καὶ χεῖρες ἀνθρώπῳ τοῦ παντὸς ἄξια οὐ μόνον πρὸς τὸ ἥδεσθαι ζῶντα, ἀλλὰ δύνασθαι ζῆν, τούτων οὐκ ἔλαττον, ἀλλὰ μᾶλλον φίλοι χρήσιμοι· διὰ μὲν γὰρ τῶν ὀφθαλμῶν μόλις ὁρᾶν ἔστι τὰ ἐμποδών, διὰ δὲ τῶν φίλων καὶ τὰ ἐν τοῖς γῆς πέρασι θεᾶσθαι· καὶ διὰ μὲν τῶν ὤτων οὐκ ἄν τις ἀκούσαι ἢ τῶν σφόδρα ἐγγύθεν, διὰ δὲ τῶν εὐνοούντων οὐδενὸς τῶν ἀναγκαίων ὅπου δήποτε ἀνήκοός ἐστι· καὶ τῇ μὲν γλώττῃ μόνοις τοῖς παροῦσι σημαίνει, καὶ ταῖς χερσίν, εἰ καὶ σφόδρα εἴη καρτερός, οὐκ ἂν ἐργάσαιτο πλεῖον ἔργον ἢ δύ'ἀνδρῶν· διὰ δὲ τῶν φίλων δύναται καὶ πᾶσιν ἀνθρώποις διαλέγεσθαι καὶ πάντων ἔργων ἐφικνεῖσθαι· οἱ γὰρ εὐνοοῦντες πάντα ἐκείνῳ συμφέροντα καὶ λέγουσι καὶ δρῶσι· τὸ δὲ δὴ πάντων παραδοξότατον, ἕνα γὰρ ὄντα ἐγχωρεῖ, ὅστις πολύφιλος, πολλὰ μὲν ἐν ταυτῷ χρόνῳ πράττειν, περὶ πολλῶν δὲ ἅμα βουλεύεσθαι, πολλὰ δὲ ὁρᾶν, πολλὰ δὲ ἀκούειν, ἐν πολλοῖς δὲ ἅμα εἶναι τόποις, ὅ καὶ τοῖς θεοῖς χαλεπόν·«

Καὶ ἐν II. 86, 18 παραβάλλων τοὺς ὁμονοούσης πόλεως πολίτας πρὸς ὀφθαλμούς, ὦτα, γλώσσας καὶ διανοίας, λέγει:

»Ὁπόσοι γὰρ ἂν ὦσι πολῖται τῆς ὁμονοούσης πόλεως, τοσοῦτοι μὲν ὀφθαλμοὶ ὁρῶσι τὸ ἐκείνης συμφέρον, τοσαῦται δὲ ἀκοαὶ ἀκούουσι, τοσαῦται δὲ γλῶτται παραινοῦσι, τοσαῦται δὲ διάνοιαι φροντίζουσι.«

Ὁ Ξενοφῶν ἐν Ἱερ. 3, 6 λόγον περὶ τυραννίδος ποιούμενος, λέγει:

»Καὶ τούτου τοίνυν τοῦ κτήματος (τῆς φιλίας) τοιούτου ὄντος μειονεκτοῦσιν οἱ τύραννοι πάντων μάλιστα.“

Καὶ Δίων ὁ Χρυσόστομος ἐν I. 61, 6 λέγει:

»Πάντων γὰρ ἀπορώτατός ἐστι φιλίας τύραννος.«

Δίων ὁ Χρυσόστομος ἐν I. 13, 7 ἄρχεται τὸν περὶ Ἡρακλέους μῦθον διηγούμενος, ὅστις μέχρι τέλους τοῦ λόγου διικνεῖται. Τὸν μῦθον τοῦτον ἐκ τῶν τοῦ Ξενοφ. Ἀπομν. 2, 1, 22 παραλαβὼν διεσκέυασε καὶ μετημφίεσε κατὰ τὴν χρείαν τῆς παραστάσεως τοῦ ἑαυτοῦ λόγου.

Ἐκεῖ μὲν παρίσταται ὁ Ἡρακλῆς ἐνώπιον δύο γυναικῶν τῆς Ἀρετῆς καὶ τῆς Κακίας, ἐνταῦθα δὲ ἐνώπιον δύο γυναικῶν, τῆς Βασιλείας καὶ τῆς Τυραννίδος. Ἐκεῖ μὲν παρίσταται ἡ Ἀρετὴ εὐπρεπὴς τ'ἰδεῖν, ἐλευθέριος τὴν φύσιν, κεκοσμημένη τὸ μὲν σῶμα καθαριότητι, τὰ δὲ ὄμματα αἰδοῖ τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, ἐνταῦθα δὲ ἡ Βασιλεία, γυνὴ εὐηδὴς καὶ μεγάλη, ἐσθῆτι λευκῇ κεκοσμημένη, τὸ πρόσωπον σεμνὸν καὶ φαιδρὸν ἔχουσα, ὡς τοὺς μὲν ἀγαθοὺς ἅπαντας θαρρεῖν ὁρῶντας, κακὸν δὲ μηδένα δύνασθαι προσιδεῖν, καθεστηκὸς καὶ ὅμοιον αὐτῆς τὸ εἶδος ὁρᾶσθαι καὶ τὸ βλέμμα οὐ μετατρεπόμενον. Ἐκεῖ μὲν παρίσταται ἡ Κακία γυνὴ τεθραμμένη εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένη τὸ μὲν χρῶμα, ὥστε λευκοτέρα τε καὶ ἐρυθροτέρα τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέρα τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι φέρουσα, κατασκοπουμένη θαμὰ ἑαυτήν, ἐπισκοποῦσα καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται καὶ πολλάκις καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπουσα. ἐνταῦθα δὲ ἡ Τυραννὶς γυνὴ οὐδὲν ἄλλο περὶ ἑαυτὴν ἐν κόσμῳ διακείμενον ἔχουσα ἢ πρὸς δόξαν ἅπαντα καὶ ἀλαζονίαν καὶ τρυφήν, καθημένη μὴ ἀτρεμίζειν δυναμένη, θαμὰ κύκλῳ περιβλέπουσα, ἀναπηδοῦσα πολλάκις ἐκ τοῦ θρόνου, ἐσθῆτα

παντοδαπὴν ἔχουσα, τοῦτο μὲν ἀλουργίδων, τοῦτο δὲ φοινικῶν, τοῦτο δὲ κροκωτῶν καὶ λευκούς τινας φαινομένους πέπλους. Ἐκεῖ μὲν ὁ Ἡρακλῆς τὴν Ἀρετὴν προτιμᾷ καὶ τὴν Κακίαν περιφρονῶν ἐγκαταλείπει, ἐνταῦθα δὲ τὴν Βασιλείαν αἱρεῖται καὶ ἀδιάλλακτος τιμωρὸς τῆς Τυραννίδος κυρύσσεται.

Ὁ Ξενοφῶν περὶ τῶν τυράννων λόγον ποιούμενος λέγει ἐν Ἱερ. 3, 8:

»Εἰ τοίνυν ἐθέλεις κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τούτων μάλιστα φιλουμένους, τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονότας, πολλοὺς δ᾽ὑπὸ παίδων αὐτοὺς ἀπολωλότας, πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γεγενημένους, πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους, καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι.«

Καὶ ἐν 4, 2:

»Ὁπότε γε οὐδὲ σιτίοις καὶ ποτοῖς πιστεύων διάγει, ἀλλὰ καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπογεύσασθαι διὰ τὸ ἀπιστεῖν μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν.«

Καὶ ἐν 6, 4:

»Τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ᾽ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάττοντας, καὶ μήτ᾽ἀνόπλους ἔχειν ἐθέλειν περὶ αὐτὸν μήθ᾽ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα; ἔτι δὲ ξένοις μὲν μᾶλλον ἢ πολίταις πιστεύειν, βαρβάροις δὲ μᾶλλον ἢ Ἕλλησιν, ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους δούλους ἔχειν, τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους, οὐ πάντα σοι ταῦτα δοκεῖ ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια εἶναι;«

Καὶ ἐν 7, 12:

»Ὅτι... καὶ ταύτῃ ἀθλιώτατόν ἐστιν ἡ τυραννίς· οὐδὲ

γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς ἐστι.

Ταῦτα σχεδόν τι μεταφράζων Δίων ὁ Χρυσόστομος λέγει ἐν τῷ Ι. 103, 13:

»Τὸ δὲ δὴ πάντων παραλογώτατον, φοβεῖσθαι μὲν τοὺς ἀνόπλους, πιστεύειν δ' ἑαυτὸν τοῖς ὡπλισμένοις, καὶ διερευνᾶσθαι μὲν τοὺς προσιόντας, μή τις ἔχοι σίδηρον, ἐν μέσῳ δὲ ζῆν τῶν σιδηροφορούντων· φεύγειν δὲ ἀπὸ μὲν τῶν ἀνόπλων πρὸς τοὺς ὡπλισμένους, ἀπὸ δὲ τῶν ὡπλισμένων πρὸς τοὺς ἀνόπλους· ἀπὸ μὲν γὰρ τοῦ πλήθους φυλάττεσθαι τοῖς δορυφόροις, ἀπὸ δὲ τῶν δορυφόρων εὐνούχοις· οὐκ ἔχειν δὲ οἷς ἂν πιστεύσας οὐδὲ ὅποι τραπόμενος δυνήσεται ζῆσαι μίαν ἡμέραν ἀφόβως· ὑφορᾶσθαι δὲ καὶ τὰ σιτία καὶ τὸ ποτόν, καὶ τοὺς προπειράσοντας ταῦτα ἔχειν, ὥςπερ ἐν ὁδῷ πολεμίων γεμούσῃ τοὺς προερευνῶντας· ἀλλὰ μηδὲ τοῖς ἀναγκαίοις θαρρεῖν, μήτε παισὶ μήτε γυναικί· οὕτω δὲ χαλεποῦ ὄντος τοῦ πράγματος καὶ δυστυχοῦς τῆς μοναρχίας, μηδὲ ἀπαλλαγῆναί ποτε αὐτοῦ μήτε βούλεσθαι μήτε δύνασθαι.

Καὶ ὀλίγον κατωτέρω:

»Τῷ δὲ (τυράννῳ) οὐκ ἔστιν ἀπαλλαγῆναι τοῦ πράγματος, ἀλλ'οὐδ'εὔξασθαι γοῦν, εἰ μή γε ἕτερον.«

Ὁ Πλάτων ἐν Τιμαίῳ 69 D. λέγει:

»Πρῶτον μὲν ἡδονὴν μέγιστον κακοῦ δέλεαρ.«

Τὴν Πλατωνικὴν ταύτην γνώμην διερμηνεύων Δίων ὁ Χρυσόστομος λέγει ἐν τῷ Ι. 148, 13:

»Τοιοῦτόν ἐστι τὸ χρῆμα τῆς ἡδονῆς, οὐχ ἁπλῶς ἐπιβουλευούσης, ἀλλὰ πάντα τρόπον, διά τε τῆς ὄψεως καὶ ἀκοῆς ἢ ὀσφρήσεως ἢ γεύσεως ἢ ἀφῆς, ἔτι δὲ σιτίοις καὶ ποτοῖς καὶ ἀφροδισίοις διαφθεῖραι πειρωμένης, ὁμοίως μὲν ἐγρηγορότας, ὁμοίως δὲ κοιμωμένους.«

Ὁ Πλάτων ἐν Ἀλκιβ. 135 Α. λέγει:

» Σω. Τί δ'ἐν νηΐ, εἴ τῳ ἐξουσία εἴη ποιεῖν ὃ δοκεῖ, νοῦ

τε καὶ ἀρετῆς κυβερνητικῆς ἐστερημένῳ, καθορᾷς ἃ ἂν ξυμβαίη αὐτῷ τε καὶ τοῖς ξυναύταις;

Ἀλκ. Ἔγωγε, ὅτι γε ἀπόλοιντο πάντες ἄν.»

Καὶ Δίων ὁ Χρυσόστομος ἐν τῷ I 163, 4 τὸ αὐτό που περὶ τοῦ μὴ εἰδότος ἀποφαινόμενος λέγει:

»Ὅς δ'ἂν ἐπιχειρῇ πηδαλίῳ χρῆσθαι οὐκ ἐπιστάμενος κυβερνᾶν, ἔστιν ὅπως οὐκ ἂν τάχιστα ἀνατρέψας τὴν ναῦν αὐτόν τε ἀπολέσειε καὶ τοὺς ἐμπλέοντας;»

Ὁ Πλάτων ἐν Φαίδ. 44 Ε. παραβάλλων τὸν Σωκράτη πρὸς τὸν κύκνον, λέγει ὅτι οὗτος αἰσθόμενος, ὅτι δεῖ ἀποθανεῖν πλεῖστα καὶ μάλιστα ᾄδει, γεγηθώς, ὅτι μέλλει παρὰ τὸν Θεὸν ἀπιέναι, οὗπερ ἐστὶ θεράπων. Τὴν περὶ κύκνου ἰδέαν τοῦ Πλάτωνος παραλαβὼν Δίων ὁ Χρυσόστομος λέγει ἐν τῷ I. 214,11:

»Ἀλλ'οὐδὲ τὸν κύκνον ἀσπάζεται διὰ τὴν μουσικήν, οὐδὲ ὅταν ὑμνῇ τὴν ὑστάτην ᾠδήν, ἅτε εὔγηρυς ὑπὸ ἡδονῆς τε καὶ λήθης τῶν ἐν τῷ βίῳ χαλεπῶν εὐφημῶν ἅμα καὶ προπέμπων ἀλύπως αὐτόν, ὡς ἔοικε, πρὸς ἄλυπον τὸν θάνατον.«

Καὶ ἐν II. 293,21:

»Ὥςπερ φασὶ τοὺς κύκνους μέλλοντας ἀποθνήσκειν καὶ προορωμένους τὸν θάνατον ἐμβιβάζειν τὴν ψυχὴν οἷον εἰς ὄχημα τὸ μέλος.«

Δίων ὁ Χρυσόστομος ἀποφαινόμενος ἐν τῷ I. 256, 14, ὅτι ὁ ἀκολασταίνων βλάπτεται ἢ εἰς τὸ σῶμα ἢ τὴν οὐσίαν ἢ τὸ μέγιστον τὴν ψυχήν, ἕπεται τῷ Πλάτωνι, ὅστις ἐν τοῖς τρισὶ τούτοις τίθησιν ἅπαντα τὰ ἀγαθά, λέγοντι ἐν τοῖς Νόμοις 697 B.

»Ἔστι δὲ ὀρθῶς ἄρα τιμιώτατα μὲν καὶ πρῶτα τὰ περὶ τὴν ψυχὴν ἀγαθὰ κεῖσθαι, σωφροσύνης ὑπαρχούσης αὐτῇ, δεύτερα δὲ τὰ περὶ τὸ σῶμα κακὰ καὶ ἀγαθά, καὶ τρίτα τὰ περὶ τὴν οὐσίαν καὶ χρήματα λεγόμενα.«

Ὁ Πλάτων ἐν Ἀλκιβ. 134. Α. λέγει, ὅτι ὁ μὴ εἰδὼς ἀ-

μαρτάνει, ὁ ἐξαμαρτάνων κακῶς πράττει ἰδίᾳ τε καὶ δημοσίᾳ, ὁ δὲ κακῶς πράττων ἐστὶν ἄθλιος, ἄρα οὐχ οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι. Καὶ Δίων ὁ Χρυσόστομος δι'ὅλου τοῦ λόγου αὐτοῦ „ὅτι εὐδαίμων ὁ σοφὸς« τοῦτο πειρᾶται ν'ἀποδείξῃ, ὅτι δηλαδὴ ὁ σώφρων μόνον ἐστὶν εὐδαίμων, καὶ σώφρων κατ' αὐτόν ἐστιν ὁ σοφός, ὁ δὲ φαῦλος, τουτέστιν ὁ μὴ εἰδώς, κακοδαίμων καὶ ἄθλιος.

Παρὰ Πλάτωνι ἀναγινώσκωμεν συχνά, ὅτι ἕκαστος ἔχει τὸν αὐτοῦ δαίμονα, τὸν φυλάσσοντα καὶ διοικοῦντα αὐτόν, οἷον ἐν Φαίδ. 107 D. «ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅσπερ ζῶντα εἰλήχει.»

Ἐν Πολιτικ. 274 B. »Τῆς γὰρ τοῦ κεκτημένου καὶ νέμοντος ἡμᾶς δαίμονος ἀπερημωθέντες ἐπιμελείας κ. τ. λ.»

Ἐν Νομ. 730 A. «Δύναται δὲ διαφερόντως ὁ ξένιος ἑκάστων δαίμων καὶ Θεὸς τῷ ξενίῳ συνεπόμενοι Διί.»

Ἐν Ἀξιόχ. 371 C. »Ὅσοις μὲν οὖν ἐν τῷ ζῆν δαίμων ἀγαθὸς ἐνέπνευσεν κ. τ. λ.»

Ἐν Τιμαίῳ A καὶ C. «Ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε, κ. τ. λ.»

»Ἅτε δὲ ἀεὶ θεραπεύοντα τὸ Θεῖον ἔχοντά τε αὐτὸν εὖ κεκοσμημένον τὸν δαίμονα ξύνοικον ἐν αὐτῷ διαφερόντως εὐδαίμονα εἶναι.»

Ἐν Πολ. 1! 617 E: »Οὐχ ὑμᾶς δαίμων λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε.»

Καὶ ἐν 620 D. »'Εκείνην δ'ἑκάστῳ, ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα ξυμπέμπειν τοῦ βίου καὶ ἀποπληρωτὴν τῶν αἱρεθέντων.»

Τὴν περὶ τοῦ δαίμονος ἰδέαν, τοῦ ἄρχοντος ἑκάστου, εὑρίσκομεν καὶ παρὰ Δίωνι, λέγοντι ἐν τῷ I. 307, 8:

»Ἆρ οὖ ὁ Δαίμων ἀγαθός ἐστι τοῦτον εὐδαίμονα εἶναι φῄς,

οὗ δὲ μοχθηρός, κακοδαίμονα;»

»Οὐ τῶν ἀνθρώπων ἕκαστον κατὰ τὸν αὑτοῦ δαίμονα βιοῦν, ὁποῖος ἂν ᾖ ποτε, ἀλλὰ καθ᾽ἕτερον;»

Ὁ Πλάτων ἐν Κρίτωνι 47 κ. ἑξ διδάσκει, ὅτι οὐ δεῖ τινα παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχειν, ἀλλὰ ἑνὸς μόνου, τοῦ ἐπαΐοντος τουτέστι, καὶ ὅτι χρὴ φοβεῖσθαι τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοῦ ἐπαΐοντος, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν. Καὶ Δίων ὁ Χρυσόστομος τὴν περὶ τῶν πολλῶν καὶ τοῦ ἐπαΐοντος δόξαν τοῦ Πλάτωνος ἀσπαζόμενος λέγει ἐν τῷ I. 310,20:

»Ἐπεὶ τό γε ἐπαινεῖσθαι καθ᾽ἑαυτὸ ὑπ᾽ἀνθρώπων ἀνοήτων οἵοίπερ εἰσὶν οἱ πολλοί, ἢ τὸ δύνασθαι ἐν τοῖς τοιούτοις ἢ τὸ ἡδέως ζῆν οὐδὲν ἂν διαφέροι πρὸς εὐδαιμονίαν τοῦ ψέγεσθαι καὶ μηδὲν ἰσχύειν καὶ ἐπιπόνως ζῆν.«

Καὶ ἐν τῷ II 191, 7:

»Ἀρά γε ἀνάγκη τὸν βουλόμενον ὀρθῶς ἐξηγεῖσθαι παρὰ τὴν δόξαν τῶν πολλῶν λεγειν; ἀνάγκη.

Καὶ ἐν τῷ II. 276, 2:

»Ἢ οὐκ ἀγνοεῖν φήσομεν ὡς ἔστιν ἡ δόξα ὁ παρὰ τῶν πολλῶν ἔπαινος· εἰ δὲ τῶν πολλῶν, δῆλον ὅτι τῶν οὐκ εἰδότων;»

Χρῆται πολλοῖς παραδείγμασιν, ὧν συνήθη ἀντικείμενά εἰσιν οἱ Κυβερνῆται, ἰατροί, κάμνοντες, παιδοτρίβαι, γραμματισταί, κιθαρισταί, ῥαψῳδοί, ὑποκριταί, μουσικοί, στρατηγοί, δεσπόται, δοῦλοι, δαίμονες, γεωμέτραι, κεραμεῖς, ἡνίοχοι, ἡ ἐπιστήμη, ἀνδρεία, δικαιοσύνη, σωφροσύνη, οἷον ἐν τῷ I. 49, 15 λέγει:

»Ὡς ἥκιστα μὲν κυβερνήτης ἂν ἀχθεσθείη τοῖς ἐν θαλάττῃ πόνοις, ἥκιστα δὲ γεωργὸς τοῖς περὶ γεωργίαν ἔργοις, ἥκιστα δὲ κυνηγέτης οἷς δεῖ θηρῶντα κάμνειν.»

I. 68, 14: »ἢ σὺ οἴει τὸν ἀδύνατον ἡνιοχεῖν ἡνίοχον εἶ-

ναι τοῦτον; ἢ τὸν ἄπειρον τοῦ κυβερνᾶν κυβερνήτην, ἢ τὸν οὐκ ἐπιστάμενον ἰᾶσθαι ἰατρόν;«

I. 162· 10 »ἢ ὅστις οὐκ ἔστιν ἔμπειρος ἵππων χρήσεως, δοκεῖ σοι οὗτος χρῆσθαι ἂν ἵπποις;»

„Τί δέ; ὅστις ἀγνοεῖ χρῆσιν κυνῶν δυνατὸς ἂν εἴη χρῆσθαι;... οὔκουν καὶ ὁ κυσὶ πειρώμενος χρῆσθαι ἄνευ τοῦ ἐπίστασθαι ζημιώσεται ἀπ'αὐτῶν;»

I. 245,15. »'Αλλ'οἱ κιθαρίζειν καὶ παλαίειν καὶ γράμματα μανθάνοντες ὑπὸ τῶν γονέων καὶ τοὺς υἱοὺς διδάσκοντες οἴεσθε σωφρονέστερον καὶ ἄμεινον οἰκήσειν τὴν πόλιν; καίτοι εἴ τις συαγαγὼν τούς τε κιθαριστὰς καὶ τοὺς παιδοτρίβας καὶ τοὺς γραμματιστὰς τοὺς ἄριστα ἐπισταμένους κ. τ. λ.“

Καὶ ὀλίγον κατωτέρω ἐν στίχ. 27.

Οὓς λέγω τοὺς τῶν ὑμετέρων παίδων διδασκάλους, οἱ παιδοτρίβαι καὶ κιθαρισταὶ καὶ γραμματισταί, προσλαβόντες τούς τε ῥαψῳδοὺς καὶ τοὺς ὑποκριτάς.»

I. 246, 1: ὁ μὲν κυβερνήτης, ὅταν εἰς τὴν ναῦν ἐμβῇ, τῷ πηδαλίῳ κατευθύνων· διὰ τοῦτο γὰρ ἐμάνθανε κυβερνᾶν· ὁ δὲ ἰατρὸς ἐπειδὰν παραλάβῃ τὸν κάμνοντα, τοῖς φαρμάκοις τοῖς περὶ τὴν δίαιταν ἰώμενος, οὗ ἕνεκα ἐκτήσατο τὴν ἐμπειρίαν.»

I. 247, 21 „ὅμοιον γὰρ ἂν ποιήσαιτε, ὥσπερ εἰ κυβερνήτας καὶ ναυάρχους τῶν τριήρων ἀποδείξαιτε τοὺς τριηρίτας ἢ τοὺς κελευστάς.»

I. 251, 7: «Ὅσῳ γὰρ ἄν, ἔφην, πλείων ἥ τε ἀνδρεία καὶ ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη γίγνηται παρ' ὑμῖν, τοσούτῳ ἔλαττον κ. τ. λ.»

I. 253, 20 »Οὐδὲ εἴ τις ἐρωτήσειε, πλέοντα μὴ φροντίζειν τοῦ κυβερνήτου μεδὲ ποιεῖν ἅττ' ἂν ἐκεῖνος εἴπῃ, εἰ τοιοῦτον ἐλευθέριον οἴοιτο..... καὶ μὴν τούς γε στρατιώτας οὐκ ἂν φαίη δούλους εἶναι, διότι ὑπήκοοί εἰσι τοῦ στρατηγοῦ.... οὐδέ γε

τοὺς κάμνοντας, ὅτι πείθονται τοῖς ἰατροῖς.

I. 254. 25. «Ὡς οἱ πλέοντες τῷ κυβερνήτῃ καὶ οἱ στρατιῶται τῷ στρατηγῷ, καὶ οἱ κάμνοντες δὲ τῷ ἰατρῷ διὰ τοῦτο πείθονται.... ἆρά γε συμφέρει τῷ δεσπότῃ τὸ τεθνάναι τὸν οἰκέτην ἢ νοσεῖν ἢ πονηρὸν εἶναι;»

I. 272,23 „Ὥσπερ γὰρ οἶμαι καὶ τοὺς ἰατροὺς καὶ τοὺς κυβερνήτας ὁρῶμεν πολλάκις τὰ αὐτὰ προστάττοντας.“

I. 307, 8. »Ἆρ' οὗ ὁ δαίμων ἀγαθός ἐστι, τοῦτον εὐδαίμονα εἶναι φῇς, οὗ δὲ μοχθηρός, κακοδαίμονα;»

II. 235, 14. »Οἱ δὲ κιθαρίζειν ἢ αὐλεῖν ἢ σκυτοτομεῖν ἢ παλαίειν... καίτοι τοὺς ἐμπόρους μὲν καὶ γεωργοὺς καὶ στρατιώτας καὶ ἰατροὺς καὶ οἰκοδόμους καὶ κιθαριστὰς καὶ αὐλητὰς καὶ παιδοτρίβας, ἔτι δὲ τοὺς λεγομένους ῥήτορας κ. τ. λ.»

236, 12. »Καίτοι ἄνευ μὲν αὐλητῶν καὶ κιθαριστῶν καὶ σκυτοτόμων καὶ παιδοτριβῶν καὶ ῥητόρων καὶ ἰατρῶν οὐκ ἀδύνατον ἀνθρώποις βιοῦν πάνυ καλῶς καὶ νομίμως, οἶμαι δ' ἐγὼ καὶ δίχα γεωργῶν καὶ οἰκοδόμων.»

II. 237, 26. »Ὥσπερ εἰ ἄμουσοι ὄντες ἡροῦντο τοὺς μουσικοὺς καὶ οὐδὲν ἐπαΐοντες περὶ γεωμετρίας τοὺς γεωμέτρας.»

II. 271, 13. »Πότερον οὖν κεραμεῖ μὲν λυσιτελεῖ μηδένα ἄλλον εἶναι κεραμέα ἐν τῇ πόλει τε καὶ κώμῃ, μαγείρῳ δὲ οὐ λυσιτελές,..... Τί δὲ βαφεῖ τὴν βαφικὴν ἐργάζεσθαι τέχνην οὐ μόνῳ αὐτῷ ἄμεινον ἢ μεθ' ἑτέρων ἀντιτέχνων, ἵνα ὁποιαοῦν ἀποιδῶται τὰ βάμματα ταῖς γυναιξίν;

II. 272, 16. »Φέρε δὴ πρὸς Θεῶν ἡ ναυτικὴ οὐ τέχνη ἐστίν, ἀλλ' ἧττόν τι τῆς κεραμευτικῆς ἢ μαγειρικῆς τυγχάνοι ἂν τοῦδε τοῦ ὀνόματος;»

II. 275, 3. »Μόνοις δὲ τοῖς κεραμεῦσι καὶ μαγείροις τε καὶ βαφεῦσι καὶ πορνοβοσκοῖς· οὐκοῦν ἡ ζηλοτυπία καὶ ὁ φθόνος καὶ τὸ μηδένα ἄλλον ἐθέλειν πράττειν τὸ αὐτὸ ἔργον

μαγειρικόν τε καὶ βαφικὸν καὶ κεραμευτικὸν καὶ ἔτι μᾶλλον πορνοβοσκοῖς προσῆκον ἤπερ ἰατροῖς τε καὶ κυβερνήταις ἢ ἄλλο τι σπουδαιότερον πράττουσιν.»

II. 277, 4: »Ὑγιείας μάρτυρα καὶ ἐπαινέτην βούλοιτ' ἂν ὁ νοῦν ἔχων ἀνὴρ ἕνα λαβεῖν, ὅστις ἰατρικὸς καὶ περὶ σώματος θεραπείας ἔμπειρος, ἢ πολλὰς μυριάδας ἀνθρώπων οὐδὲν ἐπαϊόντων,« ἅτινα συνήθη παρά τε Ξενοφῶντι καὶ Πλάτωνι· οἷον:

Ξενοφ. Ἀπομν. 1, 2, 27: »τίς μὲν γὰρ αὐλητής, τίς δὲ κιθαριστής, τίς δὲ ἄλλος διδάσκαλος ἱκανοὺς ποιῆσαι τοὺς μαθητάς.»

Ἀπομν. 1, 7, 2 κ. 3: »Ἐνθυμώμεθα γάρ, ἔφη, εἴ τις μὴ ὢν ἀγαθὸς αὐλητὴς δοκεῖν βούλοιτο, τί ἂν αὐτῷ ποιητέον εἴη... ὡς δ' αὔτως εἴ τις βούλοιτο στρατηγὸς ἀγαθὸς μὴ ὢν φαίνεσθαι, ἢ κυβερνήτης, ἐννοῶμεν τί ἂν αὐτῷ συμβαίνοι... δῆλον γὰρ ὅτι κυβερνᾶν κατασταθεὶς ὁ μὴ ἐπιστάμενος ἢ στρατηγεῖν ἀπολέσειεν ἂν οὓς ἥκιστα βούλοιτο καὶ αὐτὸς αἰσχρῶς ἂν καὶ κακῶς ἀπαλλάξειεν.»

Ἀπομν. 2, 3, 7 »ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μέν, ἐγχειροῦντι δὲ χρῆσθαι ζημία ἐστίν, οὕτω καὶ ἀδελφός, κ. τ. λ.»

Ἀπομν. 2, 6, 38: »εἰ γάρ σε βουλόμενος φίλον ποιῆσαι ναυκλήρῳ ψευδόμενος ἐπαινοίην, φάσκων ἀγαθὸν εἶναι κυβερνήτην, ὁ δέ μοι πεισθεὶς ἐπιτρέψειέ σοι τὴν ναῦν μὴ ἐπισταμένῳ κυβερνᾶν. ἔχεις τινὰ ἐλπίδα μὴ ἂν σαυτόν τε καὶ τὴν ναῦν ἀπολέσαι;»

Ἀπομν. 3, 1, 4: »καὶ γὰρ ὥσπερ ὁ κιθαρίζειν μαθών, καὶ ἂν μὴ κιθαρίζῃ, κιθαριστής ἐστι, καὶ ὁ μαθὼν ἰᾶσθαι, κἂν μὴ ἰατρεύῃ, ὅμως ἰατρός ἐστιν, οὕτω καὶ ὅδε ἀπὸ τοῦδε τοῦ χρόνου διατελεῖ στρατηγὸς ὤν, κἂν μηδεὶς αὐτὸν ἕληται· ὁ δὲ μὴ ἐπιστάμενος οὔτε στρατηγὸς οὔτε ἰατρός ἐστιν, οὐδ' ἐὰν ὑπὸ πάντων ἀνθρώπων αἱρεθῇ.»

Ἀπομν. 3, 7, 6: «πότερον γὰρ τοὺς κναφέας αὐτῶν ἢ

τοὺς σκυτέας ἢ τοὺς τέκτονας ἢ χαλκέας ἢ τοὺς γεωργοὺς ἢ τοὺς ἐμπόρους κ. τ. λ»

Πλατ. Ἀπολογ. 27. Β: »ἔσθ' ὅστις ἵππους μὲν οὐ νομίζει εἶναι, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲν οὐ νομίζει, αὐλητικὰ δὲ πράγματα.»

Κρατύλ. 390 Β: »Σω. Τίς.

»Ερμ. Ὁ κιθαριστής.

»Σω. Τίς δὲ ὁ τῷ τοῦ ναυπηγοῦ.

»Ερμ. Κυβερνήτης.»

Φιληβ. 56. Β. »Σω. καὶ μὴν ἰατρικήν τε καὶ γεωργίαν καὶ κυβερνητικὴν καὶ στρατηγικὴν ὁμοίως εὑρήσομεν ἐχούσας.»

Αλκιβ. 118 D. »Σω. καὶ ὁ κιθαριστὴς δὲ καὶ ὁ παιδοτρίβης ὡσαύτως;»

Ἵππαρχ. 226 Β. κ. C. »Σω. Τί δέ; κυβερνήτην μηδενὸς ἄξια ἱστία καὶ πηδάλια τῇ νηῒ παρεσκευασμένον ἀγνοεῖν οἴει, ὅτι ζημιωθήσεται καὶ κινδυνέυσει καὶ αὐτὸς ἀπολέσθαι καὶ τὴν ναῦν ἀπολέσαι καὶ ἃ ἂν ἄγῃ πάντα;"

„Σω. Ἀλλὰ στρατηγὸς γιγνώσκων, ὅτι ἡ στρατιὰ αὐτῷ οὐδενὸς ἄξια ὅπλα ἔχει οἴεται ἀπὸ τούτων κερδαίνειν καὶ ἀξιοῖ κερδαίνειν ;"

„Σω. Ἀλλ' αὐλητὴς αὐλοὺς οὐδενὸς ἀξίους ἔχων ἢ κιθαριστὴς λύραν ἢ τοξότης τόξον ἢ ἄλλος ὁστισοῦν συλλήβδην τῶν δημιουργῶν κ. τ. λ."

Θεαγ. 123. D. κ. F. „Σω. Οὐκοῦν καὶ ἡ ἡνιοχεία σοφία ἐστίν;"

„Σω. Μῶν ἡ τῶν καμνόντων ;

„Θεαγ. Οὐ δῆτα.

„Σω. Ἰατρικὴ γὰρ αὕτη ἐστίν; ἢ γάρ;"

„Σω. Ἀλλ' ἡ τῶν ᾀδόντων ἐπιστάμεθα ἐν τοῖς χοροῖς ἄρχειν ;

. . . .

„Σω. Μουσική γὰρ αὕτη γε.

. . . .

„Σω. Ἀλλ' ᾗ γυμναζομένων ἐπιστάμεθα ἄρχειν;

. . . .

„Σωκ. Γυμναστικὴ γὰρ αὕτη γε.“

Γοργ. 459 Β: „Σω. Ὁ δὲ μὴ ἰατρός γε δήπου ἀνεπιστήμων ὢν ὁ ἰατρὸς ἐπιστήμων.“

Ἴων. 533 Β: „Σω. Ἀλλὰ μὴν,..., οὐδ' ἐν αὐλήσει γε οὐδὲ ἐν κιθαρίσει οὐδὲ ἐν κιθαρῳδίᾳ οὐδὲ ἐν ῥαψῳδιᾳ οὐδεπώποτ' εἶδες ἄνδρα κ. τ. λ,“

538 Β: „Σω. Ῥαψῳδὸς γάρ που εἶ, ἀλλ' οὐχ ἡνίοχος.

Ἴων. Ναί.

Σω. Ἡ δὲ ῥαψῳδικὴ τέχνη ἑτέρα ἐστὶ τῆς ἡνιοχικῆς;“

Νομ. 812 Β. „Ἆρ' οὖν οὐ μετὰ τὸν γραμματιστὴν ὁ κιθαριστὴς ἡμῖν προσρητέος;“

Ἀντερ. 138 Α. „οὐκοῦν ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστίν, ᾗ δὲ διαγιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους, σωφροσύνη.

Λάχης 194 Ε: «Σω. ποία σοφία ἀνδρεία ἂν εἴη κατὰ τὸν σὸν λόγον.»

198 Α. „Σω... ἐγὼ δὲ καλῶ πρὸς ἀνδρείᾳ σωφροσύνην καὶ δικαιοσύνην καὶ ἄλλ' ἄττα τοιαῦτα.“

Διαλεγόμενος ἥδεται τῷ ἀναλυτικῷ τρόπῳ· οἷον ἐν τῷ Ι. 256, 17 κ. ἑ. λέγει:

„Ἑνὶ δὴ λόγῳ τὰ μὲν φαῦλα καὶ ἄτοπα καὶ ἀσύμφορα οὐκ ἔξεστι πράττειν, τὰ δὲ δίκαια καὶ συμφέροντα καὶ ἀγαθὰ χρὴ φάναι, ὅτι προσήκει τε καὶ ἔξεστιν;

„Οὐκοῦν οὐδενὶ τά τε φαῦλα καὶ ἀσύμφορα ποιεῖν ἀζήμιόν ἐστιν οὔτε Ἕλληνι οὔτε βαρβάρῳ οὔτε ὑπὲρ ὅτου τις τι-

μὴν δέδωκεν ἀργύριον; Οὐ γὰρ οὖν. Τὰ δέ γε ἐναντία πᾶσιν ἐφεῖται, καὶ οἱ μὲν τὰ ἐφειμένα πράττοντες ἀζήμιοι διατελοῦσιν, οἱ δὲ τὰ κεκωλυμένα ζημιοῦνται.“

„Ἄλλοι οὖν δοκοῦσί σοι πράττειν ἃ ἔξεστιν ἢ οἱ ἐπιστάμενοι ταῦτα, καὶ ἄλλοι τἀναντία ἢ οἱ ἀγνοοῦντες;“

„Οὐκοῦν οἱ φρόνιμοι ὅσα βούλονται πράττειν, ἔξεστιν αὐτοῖς· οἱ δὲ ἄφρονες ἃ βούλονται οὐκ ἐξὸν ἐπιχειροῦσι πράττειν· ὥστε ἀνάγκη τοὺς μὲν φρονίμους ἐλευθέρους τε εἶναι καὶ ἐξεῖναι αὐτοῖς ποιεῖν ὡς ἐθέλουσι, τοὺς δὲ ἀνοήτους δούλους τε εἶναι καὶ ἃ μὴ ἔξεστιν αὐτοῖς, ταῦτα ποιεῖν;“

„Οὐκοῦν καὶ τὴν ἐλευθερίαν χρὴ λέγειν ἐπιστήμην τῶν ἐφειμένων καὶ τῶν κεκωλυμένων, τὴν δὲ δουλείαν ἄγνοιαν ὧν τε ἔξεστι καὶ ὧν μή.“

Ἐν I. 307, 8 κ. ἑ.

„Ἆρ᾽ οὗ ὁ δαίμων ἀγαθός ἐστι, τοῦτον εὐδαίμονα εἶναι φῄς, οὗ δὲ μοχθηρός, κακοδαίμονα;“

„Οὐκοῦν καὶ δαίμονα, εἴ περ τινὰ ἀγαθὸν ἡγεῖ δῆλον ὡς δίκαιον ἡγεῖ καὶ χρήσιμον καὶ φρόνιμον;... Ἢ γὰρ ὃν κακόν τινα νομίζεις, πονηρὸν οἴει τὸν αὐτὸν εἶναι καὶ ἄδικον καὶ ἀνόητον;“

„Οὐκοῦν τὸν τυχόντα ἀγαθοῦ δαίμονος ἡγεῖ δικαίως ζῆν καὶ φρονίμως καὶ σωφρόνως;... Τὸν δὲ μοχθηροῦ δαίμονος πονηρῶς καὶ ἀφρόνως καὶ ἀνοήτως καὶ ἀκολάστως;“

„Ἆρα ὅστις ἄνθρωπος νοῦν ἔχων ἐστὶ καὶ δίκαιος καὶ σώφρων, οὗτος εὐδαίμων ἐστὶν ἀγαθῷ δαίμονι συνών· ὅστις δὲ ἀσελγὴς καὶ ἄφρων καὶ πανοῦργος, ἀνάγκη κακοδαίμονα φάσκειν ἐκεῖνον κακῷ δαίμονι συνεζευγμένον καὶ λατρεύοντα;“

„Σοφὸν δὲ ἄλλον τινὰ καλεῖς ἢ τὸν φρόνιμον ἄνθρωπον καὶ ἀνδρεῖον, φαῦλον δὲ τὸν ἄδικον καὶ δειλόν;“

Πότερον οὖν δοκοῦσί σοι οἱ ἐγκρατεῖς καὶ σώφρονες καὶ

νοῦν ἔχοντες, οὗτοι ἀπειθεῖν ἂν τοῖς ἰατροῖς τοῖς ἐμπείροις καὶ τὰ συμφέροντα προστάττουσιν, ἢ τοὐναντίον οἱ ἀνόητοι καὶ ἀκόλαστοι; — τῷ δαίμονι χρηστῷ ὄντι πείθεσθαι καὶ ζῆν κατ' ἐκεῖνον πότερον ἡγεῖ τῶν σωφρόνων εἶναι καὶ νοῦν ἐχόντων ἢ τῶν πονηρῶν καὶ ἀνοήτων; τῶν σωφρόνων. Τὸ δέ γε μὴ πείθεσθαι μηδὲ προσέχειν, ἀλλ'ἐναντίως τῷ θείῳ τε καὶ δαιμονίῳ πράττειν τῶν κακῶν καὶ ἀγνωμόνων;—Εἶναι δὲ τοὺς πειθομένους τῷ δαιμονίῳ τοιούτῳ ὄντι εὐδαίμονας, τοὺς δὲ ἀπειθοῦντας κακοδαίμονας;"

Ὥσπερ ἐν πλείστοις ὁ Πλάτων, ἐνίοτε δὲ καὶ ὁ Ξενοφῶν· οἷον Πλτ. ἐν Φιληβ. 40 C:

„Ψευδέσιν ἄρα ἡδοναῖς τὰ πολλὰ οἱ πονηροὶ χαίρουσιν, οἱ δὲ ἀγαθοὶ τῶν ἀνθρώπων ἀληθέσιν."

Ἐν Γοργ. 498 C. κ. E: „Ἀλλὰ μὴν οἵ γε φρόνιμοι καὶ οἱ ἀνδρεῖοι ἀγαθοί, οἱ δὲ δειλοὶ καὶ ἄφρονες κακοί.

Ἀγαθοὶ ἄρα οἱ ἂν χαίρωσι, κακοὶ δὲ οἱ ἂν ἀνιῶνται;"

Ἐν Πολ. 350 C: »Ὁ μὲν ἄρα δίκαιος ἡμῖν ἀναπέφανται ὢν ἀγαθός τε καὶ σοφός, ὁ δὲ ἄδικος ἀμαθής τε καὶ κακός."

Ξενοφ. Ἀπομν. 3, 10, 5: »Πότερον οὖν, ἔφη, νομίζεις ἥδιον ὁρᾶν τοὺς ἀνθρώπους δι'ὧν τὰ καλά τε κἀγαθὰ καὶ ἀγαπητὰ ἤθη φαίνεται ἢ δι' ὧν τε τὰ αἰσχρά τε καὶ πονηρὰ καὶ μισητά;"

Βαίνει ἐπὶ τῇ ἀποδείξει διὰ τῆς ἐκ τῶν ὁμοίων ἢ ἐκ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζω μεθόδου, π. χ. ἵνα ἐν τῷ »Διογένης ἢ περὶ οἰκετῶν» ἀποδείξῃ, ὅτι ὁ ἑαυτὸν ἀγνοῶν ἑαυτὸν οὐ δύναται χρῆσθαι, βαίνει ἐν τῇ ἀποδείξει οὕτω: ὡς ὁ μὴ εἰδὼς κύνας οὐ δύναται κυσὶ χρῆσθαι, ὡς ὁ μὴ ἔμπειρος ἵππων οὐ δύναται αὐτοῖς χρῆσθαι, ὡς οἱ ἄπειροι βοῶν, ὀρέων, ὄνων ἢ προβάτων ἢ συῶν ἢ χηνῶν οὐ δύναται αὐτοῖς χρῆσθαι, ὡς ὁ ἄμουσος κιθάρᾳ, ὁ μὴ αὐλητικὸς αὐλοῖς, ὁ μὴ ἐπιστάμενος κυβερνᾶν πηδαλίῳ, ὡς ὁ

ἀσπίδος ἢ δόρατος ἄπειρος ἀσπίδι ἢ δόρατι οὐ δύναται χρῆσθαι, οὕτω καὶ ὁ ἑαυτὸν μὴ εἰδὼς οὐ δύναται ἑαυτῷ χρῆσθαι, ἑαυτῷ δὲ μὴ δυνάμενος χρῆσθαι πολὺ μᾶλλον θεῷ οὐ δύναται χρῆσθαι.

Παρατηρητέον δὲ πρὸς τούτοις, ὅτι ἐν τῷδε τῷ χωρίῳ παίζει διὰ τῶν λέξεων.

Ἥτις ἐστὶ συνειθεστάτη τῷ Πλάτωνι· ὡς ἐν **Γοργίᾳ** 460 Β, ἵνα ἀποδείξῃ, ὅτι τὸν ῥήτορα ἀνάγκη δίκαιον εἶναι λέγει: ὡς τὰ τεκτονικὰ μεμαθηκὼς τεκτονικός ἐστιν, ὡς ὁ τὰ μουσικὰ μουσικός, ὡς ὁ τὰ ἰατρικὰ ἰατρικός, ὡς ἕκαστος ἐν γένει τοιοῦτός ἐστιν, οἷον ἡ ἐπιστήμη ἕκαστον ἀπεργάζεται, οὕτω καὶ ὁ τὰ δίκαια μεμαθηκὼς δίκαιος.

Ἀποδεικνύει διὰ κατηγορηματικῶν συλλογισμῶν τὸ ζητούμενον, ὡς ἐν τῷ λόγῳ αὐτοῦ.

„Ὅτι Εὐδαίμων ὁ Σοφός.“ Ἵνα ἐν τῷδε τῷ λόγῳ ἀποδείξῃ, ὅτι ὁ σοφός ἐστιν εὐδαίμων, βαίνει καὶ διὰ τῶν τριῶν κατηγορηματικῶν σχημάτων τοῦ συλλογισμοῦ οὕτω συλλογιζόμενος.

Πάντες οἱ ἄνθρωποι ζῶσι κατὰ τὸν αὑτῶν δαίμονα, ὁ μὲν ἀγαθὸς δαίμων ἐστὶ δίκαιος, χρήσιμος καὶ φρόνιμος, ὁ δὲ κακὸς πονηρὸς ἄδικος καὶ ἀνόητος, ἄρα ὁ τυχὼν ἀγαθοῦ δαίμονος ζῇ φρονίμως καὶ σωφρόνως, ὁ δὲ μοχθηροῦ πονηρῶς καὶ ἀφρόνως καὶ ἀνοήτως καὶ ἀκολάστως. Ὁ τυχὼν ἀγαθοῦ δαίμονος ζῇ δικαίως καὶ φρονίμως καὶ σωφρόνως, ὁ δὲ μοχθηροῦ πονηρῶς καὶ ἀφρόνως καὶ ἀνοήτως καὶ ἀκολάστως· ὁ ἔχων νοῦν ἐστὶ δίκαιος καὶ σώφρων, ὁ δὲ μὴ ἔχων νοῦν ἀσελγὴς ἄφρων καὶ πανοῦργος, ἄρα οὗ ὁ δαίμων ἀγαθός ἐστιν, οὗτός ἐστιν νοῦν ἔχων, οὗ δὲ μοχθηρὸς οὗτός ἐστι μὴ νοῦν ἔχων· ἀλλὰ καὶ οὗ ὁ δαίμων ἀγαθός ἐστιν, οὗτός ἐστιν εὐδαίμων, οὗ δὲ μοχθηρός, οὗτός ἐστι κακοδαίμων, ἄρα ὁ

νοῦν ἔχων ἐστὶν εὐδαίμων, ὁ δὲ μὴ νοῦν ἔχων κακοδαίμων. Ὁ νοῦν ἔχων ἐστὶ δίκαιος καὶ σώφρων, ὁ δὲ μὴ νοῦν ἔχων ἐστὶν ἄφρων ἄδικος καὶ ἀκόλαστος, ὁ σοφός ἐστι δίκαιος καὶ σώφρων, ὁ φαῦλος ἄφρων ἄδικος καὶ ἀκόλαστος, ἄρα ὁ νοῦν ἔχων ἐστὶ σοφός, ὁ δὲ μὴ νοῦν ἔχων φαῦλος, ἀλλὰ ὁ νοῦν ἔχων ἐστὶν εὐδαίμων, ὁ δὲ μὴ νοῦν ἔχων ἐστὶ κακοδαίμων, ἄρα ὁ σοφός ἐστιν εὐδαίμων, ὁ δὲ φαῦλος κακοδαίμων. Εἶτα ὑποτιθέμενος, ὅτι μόνον ἀγαθὸς δαίμων ἐστί συλλογίζεται οὕτω: Ὁ πειθόμενος τῷ χρηστῷ δαίμονι, οὗτός ἐστι σώφρων, ὁ μὴ πειθόμενος κακὸς καὶ ἀγνώμων ἤτοι ἄφρων, ὁ πειθόμενος τῷ χρηστῷ δαίμονι οὗτός ἐστιν εὐδαίμων, ὁ δὲ μὴ πειθόμενος, οὗτός ἐστι κακοδαίμων, ἄρα ὁ σώφρων καὶ σοφός ἐστιν εὐδαίμων, ὁ δὲ ἄφρων καὶ φαῦλος κακοδαίμων. Ὧν συχνὴν χρῆσιν ὁ Πλάτων ποιεῖται. Ὡς ἐν Παρμ. 137 Β: ὁ μὴ ἔχει μέρη, οὔτε εὐθύ ἐστιν, οὔτε στρογγύλον, τὸ μετέχον σχήματος ἢ εὐθύ ἐστιν ἢ στρογγύλον, ἄρα ὁ μὴ ἔχει μέρη οὐδὲ σχήματος μετέχει. Τὸ μετέχον σχήματος ποιόν ἐστι, τὸ μετέχον σχήματος πεπεράτωται, τί ἄρα ποιὸν πεπεράτωται· καὶ ἐν Γοργίᾳ 502 C: Οἱ ποιητικοὶ λόγοι λέγονται πρὸς πολὺν ὄχλον καὶ δῆμον, οἱ δημηγορικοὶ λόγοι λέγονται πρὸς πολὺν ὄχλον καὶ δῆμον, ἄρα ἡ ποιητικὴ δημηγορία ἐστίν· καὶ ἐν πολλοῖς ἄλλοις χωρίοις.

Ἐν τοῖς συμβουλευτικοῖς καὶ ἀπολογητικοῖς αὐτοῦ λόγοις πειρᾶται τὸ τοῦ Δημοσθένους καὶ Αἰσχίνου ὕφος μιμήσασθαι, λαμβάνει παρ'αὐτῶν ἅπαντα τὰ ρητορικὰ ὅπλα, ὧν οὐδενὸς φείδεται καὶ δὴ ἐν τῷ Ῥοδιακῷ, ὅστις τὴν ὑψίστην βαθμίδα πάντων τῶν ἑαυτοῦ λόγων κατέχει. Πολὺς ἐν τοῖς ἀσυνδέτοις σχήμασιν, ὧν ἄξιόν τινα ἐνταῦθα παραθέσθαι.

I. 372, 19: οὐκ ἀδίκημά ἐστι τὸ τὴν μνήμην ἀναιρεῖν; τὸ τὴν τιμὴν ἀφαιρεῖσθαι; τὸ ἐκκόπτειν τὸ ὄνομα;

I. 379, 4: Τότε μὲν γὰρ εἰς πάνθ'ὅσα καὶ νῦν ἀνελί-

σκετο, πανηγύρεις, πομπάς, ἱερουργίας, εἰς τὰ τείχη, τοῖς δικάζουσι, τῇ βουλῇ.

I. 392, 6: Καὶ γὰρ ἐπὶ τῶν ἄλλων οὕτως ἔχει, δαπάνης, ἀκοσμίας, τρυφῆς.

I. 393, 20: ἔπειτα οἶμαι καὶ τῶν τοιούτων, ἱερῶν, θεάτρων, νεωρίων, τειχῶν, λιμένων.

I. 397, 4: πρότερον μὲν γὰρ ἐκ πολλῶν συνειστήκει τὸ κοινὸν ἀξίωμα καὶ πολλοὶ τὴν Ἑλλάδα ηὔξον, ὑμεῖς, Ἀθηναῖοι, Λακεδαιμόνιοι, Θηβαῖοι, χρόνον τινὰ Κορίνθιοι, τὸ παλαιὸν Ἀργεῖοι.

I. 398, 15: ἐκείνοις μὲν γὰρ ἐν πολλοῖς ὑπῆρχεν ἑτέροις ἡ τῆς ἀρετῆς ἐπίδειξις, ἐν τῷ προεστάναι τῶν ἄλλων, ἐν τῷ βοηθεῖν τοῖς ἀδικουμένοις, ἐν τῷ συμμάχους κτᾶσθαι, πόλεις οἰκίζειν, νικᾶν πολεμοῦντας.

I. 415. 20: Καὶ γὰρ ὑμεῖς, ὅταν συνέλθητε, πυκτεύετε, βοᾶτε, ῥιπτεῖτε, ὀρχεῖσθε, ποίῳ χρησάμενοι φαρμάκῳ;

II. 9, 16: πολὺ δ' ἂν ἔργον εἴη πάντας ἐπεξιέναι τοὺς διὰ τρυφὴν ἀπολωλότας Λυδοὺς πάλαι, Μήδους, Ἀσσυρίους πρότερον, τὰ τελευταῖα Μακεδόνας· οἱ νεωστὶ τὰ ῥάκη περιημμένοι καὶ ποιμένες ἀκούοντες τοῖς Θρᾳξὶ περὶ τῶν μελινῶν μαχόμενοι τοὺς Ἕλληνας ἐκράτησαν, εἰς τὴν Ἀσίαν διέβησαν, ἄχρις Ἰνδῶν ἦρξαν.

II, 18, 9: Τὰ δὲ τοιαῦτα σύμβολα τῆς ἀκρασίας μηνύει τὸ ἦθος καὶ τὴν διάθεσιν, ἡ φωνή, τὸ βλέμμα, τὸ σχῆμα, ἤδη καὶ ταῦτα τὰ δοκοῦντα μικρὰ καὶ ἐν μηδενὶ λόγῳ, κουρά, περίπατος, τὸ τὰ ὄμματα ἀναστρέφειν, τὸ ἐκκλίνειν τὸν τράχηλον, τὸ ταῖς χερσὶν ὑπτίαις διαλέγεσθαι.

II. 91, 29: Λέγω δὲ τὸ τῶν Σμυρναίων, τὸ τῶν Ἐφεσίων, Ταρσεῖς ἐκείνους, Ἀντιοχέας.

II. 212, 1: Φυγάδα σὲ ἐποίησεν, εἰς Ἀθήνας ἤγαγεν, Ἀν-

τισθένει προὐξένησεν, εἰς Κρήτην ἐπώλησεν.

II. 256, 1: μεσταὶ γοῦν αἱ πόλεις ἀεὶ κατηγορούντων, ἀπολογουμένων, δικαζόντων δικαζομένων.

Δημοσθ. 1, 9: καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαί, τἄλλα, κ. τ. λ.

1, 12: Τὸ πρῶτον Ἀμφίπολιν λαβών, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη μετὰ ταῦτα Φεράς, Παγασάς, Μαγνησίαν, πάνθ' ὃν ἐβούλετο εὐτρεπίσας τρόπον ᾤχετο εἰς Θρᾴκην.

2, 25: Ἴστε γὰρ δήπου τοῦθ', ὅτι μελλόντων αὐτῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταὐτὰ ἅπερ νυνὶ ποιούντων ἅπας ὁ χρόνος διελήλυθεν.

4, 40: Πλείστην δύναμιν ἁπάντων ἔχοντες, τριήρεις ὁπλίτας, ἱππέας, χρημάτων πρόσοδον.

8, 64: οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ τἀπὶ Θρᾴκης, Δορίσκον, Σέρρειον, τὸν Κερσοβλέπτην αὐτόν;

8, 69: Παριδὼν ἃ συνοίσει τῇ πόλει, κρίνει, δημεύει, δίδωσι κατηγορεῖ, οὐδεμιᾷ δὲ ταῦτ' ἀνδρείᾳ ποιεῖ, 9, 73: καὶ τοὺς ἄλλους Ἕλληνας συγκαλεῖν, συνάγειν, διδάσκειν, νουθετεῖν.

10, 10: Πολλὰ δὲ καὶ παραλείπω, Φεράς, τὴν ἐπ' Ἀμβρακίαν ὁδόν, τὰς ἐν Ἤλιδι σφαγάς, ἄλλα μυρία.

10, 19: Καὶ κατασκευαζόμενοι στράτευμα, τριήρεις ταχείας, ἵππους, ἱππαγωγούς, τἄλλα ὅσα εἰς πόλεμον..... ὑστερίζετε, ἀναλίσκετε, ὅτῳ παραδώσετε τὰ πράγματα ζητεῖτε, δυσχεραίνετε, ἀλλήλους αἰτιᾶσθε.

10, 52: Καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι, Ἀργεῖοι, Θηβαῖοι, Λακεδαιμόνιοι, Κορίνθιοι, Ἀρκάδες, ἡμεῖς.

13, 28: Καὶ τοσοῦτον κατέλειπον ἐκεῖνοι, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι, προπύλαια ταῦτα, νεώ-

σοικοι, στοαί, τἄλλα.

18, 237: Ἐγὼ συμμάχους μὲν ὑμῖν, ἐποίησα Εὐβοέας, Ἀχαιούς, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους, Κερκυραίους.

19, 209: Τοῦτ' ἀποστρέφει τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ.

19, 215: οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν ἥλω, ἀλλ' ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα ποιοῦσιν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην.

19, 228: Ὑφ' ὧν παράγεσθε πολλάκις, ἔλεος, φθόνος, ὀργή, χαρίσασθαι τῷ δεηθέντι, ἄλλα μυρία.

19, 311: Ἐκεῖνα ἃ διεξῆλθον ἐν ἀρχῇ δεδημηγορηκώς, τὸν Μαραθῶνα, τὴν Σαλαμῖνα, τὰς μάχας, τὰ τρόπαια, ἐξαίφνης, ὡς ἐπέβη Μακεδονίας, πάντα τἀναντία τούτοις, μὴ προγόνων μεμνῆσθαι, μὴ τρόπαια λέγειν, μὴ βοηθεῖν, μὴ κοινῇ μετὰ τῶν Ἑλλήνων βουλεύεσθαι, μόνον οὐ καθελεῖν τὰ τείχη.

Καὶ ἀλλαχοῦ ὡς ἐν 9,40—9,49—9,71—10,65—18,69—19,265—19,282—21,17—21,91—21,201—22,27—23,114—23,178—23,207—24,13—24,90—24,101—24,119—25,25—25,94—39,34—57,24—πρ. 21. Καὶ πλεῖστα ἄλλα ἃ ἄπορον ἐνταῦθα ἅπαντα περιλαβεῖν.

Ἔτι δ' ὑπερβαλλόντως τοῖς ἐρωτηματικοῖς σχήμασι χρῆτα, καθάπερ καὶ ὁ Δημοσθένης:

Δ. Χρυσ. Ι. 315,11: Τί γὰρ καὶ βουλευσόμεθα περὶ αὐτῶν; ἵνα μὴ γένηται τὰ γεγονότα; οὐ δύναται μὴ γεγονέναι· ἀλλ' ἵνα μὴ ᾖ τὰ ὄντα; πῶς δυνάμεθα ποιῆσαι μὴ εἶναι οὕτως ὡς ἐγένετο; ἀλλ' ἵνα μὴ ὑφεστήκει; πᾶν τὸ ὂν ὑπόστασιν ἔχει· ἀλλὰ περὶ μὲν τῶν ὄντων τί ἄν τις καὶ βουλεύοιτο; περὶ τίνων οὖν βουλευόμεθα; περὶ τῶν μελλόντων ὡς ὁ λόγος ὑποδείκνυσι.

Ι. 355, 9: ἆρ' οὐκ ἴστε ἧς τινος τυγχάνει προσηγορίας; οὐ

κόλαξ ὁ τοιοῦτος ὀνομάζεται παρὰ πᾶσιν; οὐκ ἀγεννής; οὐκ ἄπιστος δοκεῖ.

I. 350, 27: Τί οὖν; εἴ τις ἀνέλοι τὸν στέφανον, οὗ χάριν φιλοτιμοῦνται καὶ τὴν ἐπιγραφὴν τὴν ἐσομένην Ὀλυμπίασιν ἢ Πυθοῖ τῆς νίκης, ἆρ' οἴεσθε μίαν ἡμέραν αὐτοὺς ἀνέξεσθαι τὸν ἥλιον μόνον, οὐχ ὅπως τἄλλα ὅσα τῷ πράγματι πρόσεστιν ἀηδῆ καὶ χαλαιπά; Τί δ'; ἐὰν γένηται δῆλον αὐτοῖς, ὅτι τὴν εἰκόνα, ἣν στήσωσιν, ἕτερος αὑτοῦ ποιήσεται, τὸ μὲν τοῦ θέντος ὄνομα ἀνελών, αὑτὸν δ'ἐπιγράψας, ἔτι θεασόμενον ἡγεῖσθε ἐλθεῖν ἄν τινα ἐκεῖσε, οὐχ ὅπως ἀγωνιούμενον;

I. 354, 3: Εἰ γὰρ ἀναγκαῖον ἅμα καὶ συμφέρον φήσουσιν εἶναι τὸ ἑτέρους τιμᾶν, πῶς οὐχ ὑπεναντίον ἐστὶ τούτῳ τοὺς πρότερον οὕτω τετημένους ὑβρίζειν; ὃ γὰρ τῶν πρότερόν τις οὐκ ἂν εἵλετο λαβεῖν, εἰδὼς τοῦτο ἐσόμενον, εἰκός ἐστι τῶν νῦν τινα ἡδέως λαμβάνειν ὁρῶντα τὸ γιγνόμενον.

I. 358, 6: Νὴ Δία, ἀλλὰ δαπανήσομεν, εἰ μὴ τοῖς οὖσι χρησόμεθα; καὶ πόσων δεήσει χρημάτων, ἐὰν κατασκευάζωμεν ἀνδριάντας ὅσοις ψηφιζόμεθα; καὶ πόσῳ κρεῖττον ἐλάττοσι διδόναι τὴν δωρεὰν ἢ πλείους ἐξαπατᾶν, μέλλοντάς γε ὑπὸ πλειόνων καταγιγνώσκεσθαι καὶ μισεῖσθαι σαφῶς εἰδότων ὃ ποιεῖτε;

I. 358, 18: Τις γὰρ ἂν μέτριος ἄνθρωπος βούλοιτο ἕτερον κακῶς πάσχειν καὶ τῶν δικαίως δεδομένων ἀποστερεῖσθαι δι' αὐτόν; ἢ πῶς οὐκ ἂν ὀργίζοιτο ἐπὶ τούτῳ γιγνομένῳ μᾶλλον ἤπερ εἰδείη χάριν;

I. 359, 27: Τί κωλύει μὴ μόνον ταύτην ὑπάρχειν ἐν ἑτοίμῳ τὴν δωρεάν, ἀλλὰ κἂν ἄλλο τι θέλητε, χαρίσασθαί τινι, γῆν ἀργύριον, οἰκίαν τοὺς ἔχοντας ἀφαιρουμένους; ἢ τί δεῖ πόρους ζητεῖν καὶ τὰ κοινὰ ἀναλίσκειν, ὅταν ᾖ καιρὸς ἢ τεῖχος ἐπισκευάζειν ἢ ναῦς, ἀλλὰ μὴ τὰ τοῦ δεῖνος λαβεῖν ἢ τὰ τῶν πολιτῶν τινος ἢ τῶν ἐνοικούντων παρ' ὑμῖν;

I. 361, 20: Πῶς οὖν δικαιότερόν ἐστιν ὁτιοῦν ἔχειν ἢ εἴ τις ἀνὴρ ἀγαθὸς γενόμενος καὶ χάριτος ἄξιος ἀντὶ πολλῶν καὶ καλῶν τύχοι τιμῆς; ἢ παρὰ τίνος κυριωτέρου καὶ μείζονος ἢ παρὰ τοῦ Ροδίων δήμου καὶ τῆς ὑμετέρας πόλεως;

I. 362, 12: Ἃ δέ τις εἴληφεν οὐ δημοσίᾳ μόνον, ἀλλὰ καὶ τοῦ δήμου δεδωκότος οὐκ ἔσται βέβαια; . . . . ἃ δὲ ἡ πόλις αὕτη πεποίηκε, ῥᾳδίως οὕτως ἀνελεῖ; καὶ ταῦτα οὐχ ὡς ἔδωκεν, ὁμοίως ἀφαιρουμένη κακὰ κοινόν, ἀλλ'ἑνὸς ἀνδρός, ἂν τύχῃ στρατηγῶν, ἐξουσίαν ἔχοντος τοῦτο ποιεῖν;

I. 364, 6: Ἆρ' οὖν οὐχὶ δεινόν, εἰ καταχρησόμεθα τούτοις πρὸς ἄλλο τι; νὴ Δία, ταῦτα γάρ ἐστιν ἀναθήματα· αἱ δὲ εἰκόνες τιμαί· τοὺς δέ γε θεοὺς φήσομεν, ὡς ἔοικε, τῶν φίλων μᾶλλον ὀλιγωρεῖν ἢ τῶν κτημάτων; ἀλλὰ πάντα μὲν προσήκει κ.τ.λ.

I. 369, 4: Φέρε τοίνυν, εἴ τις ἔροιτο τὸν στρατηγὸν ὑμῶν ἐφεστῶτα καὶ κελεύοντα ἐκχαράττειν τὴν ἐπιγραφήν, ἕτερον δ'ἐγγράφειν, τί ἐστὶ τὸ γιγνόμενον; ἢ νὴ Δία πέφηνέ τι δεινόν; εἰργασμένος τὴν πόλιν τοσούτοις ἔτεσιν οὗτος ἀνήρ; πρὸς τοῦ Διὸς οὐκ ἂν ὑμῖν δοκεῖ διατραπῆναι καὶ ταῦτα ἐὰν ᾖ μέτριος; ἐγὼ μὲν γὰρ οἶμαι καὶ τὸν τεχνίτην ἐρυθριάσειν· εἰ δὲ δὴ παῖδες ἢ συγγενεῖς τινες παρατύχοιεν τ'ἀνδρὸς ἐκείνου, πόσα οἴεσθε ἀφήσειν αὐτοὺς δάκρυα, ἐπειδὰν ἄρξηταί τις ἀφανίζειν τὸ ὄνομα; οὐμενοῦν ἀλλὰ ἐνστήσονται πάντες εἰς ὑμᾶς παριόντες, εἰς τὸν δῆμον βοῶντες· ἆρ' οὖν, οὐδ'ἂν τοιοῦτον συμβῇ κωλύσετε οὐδὲ ἐπιστραφήσεσθε; ἐγὼ μὲν οὐδὲν ἂν κ. τ. λ.

I. 372, 19: Τί οὖν; οὐκ ἀδίκημά ἐστι τὸ τὴν μνήμην ἀναιρεῖν; τὸ τὴν τιμὴν ἀφαιρεῖσθαι; τὸ ἐκκόπτειν τὸ ὄνομα; δεινόν γε καὶ σχέτλιον, ὦ Ζεῦ.

I. 373, 29: Καὶ μὴν ἐάν τις ἓν μόνον ἐκχαράξῃ ῥῆμα ἀπὸ στήλης τινός, ἀποκτενεῖτε αὐτόν, οὐκέτι ἐξετάσαντες ὅ τι ἦν ἢ περί τινος; καὶ εἰ δή τις ἐλθὼν οὐ τὰ δημόσια ὑμῖν γράμ-

ματά ἐστι κεραίαν νόμου τινὸς ἢ ψηφίσματος μίαν μόνην συλλαβὴν ἐξαλείψειεν, οὕτως ἕξετε ὥσπερ ἂν εἴ τις ἀπὸ τοῦ ἅρματός τι καθέλοι; οὐκοῦν ὁ τὴν ἐπιγραφὴν ἀνελὼν εἰκόνος τινὸς ἧττόν τι ποιεῖ τοῦ τὴν στήλην ἀποχαράττοντος;

I. 374, 23: Εἶθ' ὅποι μηδὲ τοὺς κακὸν δράσαντας ἐάν περ καταφύγωσιν ἔθος ἐστὶν ἀδικεῖν, τοὺς εὐεργέτας οὐ δεινὸν ἐὰν φαινώμεθα ἀδικοῦντες; καὶ τὴν ἀσυλίαν ἣν παρέχουσι τοῖς φαύλοις οἱ τοιοῦτοι τόποι, μόνοις, ὡς ἔοικε, τοῖς ἀγαθοῖς οὐ δυνήσονται παρέχειν; ἀλλὰ ἐὰν μὲν θυμιατήριόν τις ἀλλάξῃ τῶν ἔνδον κειμένων ἢ φιάλην, ἱερόσυλος οὐχ ἧττον νομισθήσεται τῶν ὑφαιρουμένων· ἐὰν δ' εἰκόνα ἀλλάξῃ καὶ τιμὴν οὐδὲν ἄτοπον ποιεῖ;

I. 380, 5: Χωρὶς δὲ τούτου τίς ἂν εἴποι πλείους εἶναι τοὺς νῦν φιλοτιμουμένους περὶ τὴν πόλιν; νὴ Δία, ἀνάγκην γὰρ ἡμεῖς ἔχομεν τοὺς ἡγεμόνας τιμᾶν ἅπαντας· τί δ'; οὐχὶ καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καὶ Βυζάντιοι καὶ Μυτιληναῖοι τοὺς αὐτοὺς τούτους θεραπεύουσιν;

I. 381, 5: Εἰ δὲ τῶν πολλῶν καὶ τῶν μηδένα ὠφελησάντων εἰσὶν οὗτοι, τίνος χάριν ἀσχημονεῖτε; ἢ τί βουλόμενοι τούτους θεραπεύετε, καὶ ταῦτα ἐνὸν ὑμῖν ἄλλως ἐπιμελεῖσθαι;

I. 391, 16: Εἶτα ὃ γράφειν αἰσχρὸν ἡγεῖσθε, τοῦτο ποιεῖν οὐκ αἰσχρόν ἐστι; καὶ πόσῳ κρεῖττον μὴ χρῆσθαί τισι τῶν φαύλως γεγραμμένων ἢ ποιεῖν; ἢ ποτέρους ἂν εἴποιτε βελτίους, τοὺς οὕτως ἔχοντας πρὸς τὰ ἄτοπα, ὥστε ἀπέχεσθαι καὶ δεδομένων, ἢ τοὺς οὐ συγχωρημένα πράττοντας;

I. 394, 21: Εἶτα Ῥωμαῖοι μὲν καὶ Νέρων οὕτω τὰ παρ' ὑμῖν ἐτήρησαν καὶ σεμνὰ ἔκριναν· ὑμεῖς δὲ οὐ φυλάξετε; καὶ Νέρων μὲν ὁ τῶν Βασιλέων σφοδρότατος καὶ πλεῖστον αὐτῷ διδοὺς καὶ πρὸς ἅπασαν ἐξουσίαν πάντ' ἐλάττω νενομικὼς οὐδενὸς ἀφείλετο τὴν εἰκόνα τῶν παρὰ μόνοις Ῥοδίοις τιμηθέν-

των. αὐτοὶ δ'ὑμεῖς ἀφαιρεῖσθε; καὶ πόσῳ κρεῖττον ἦν κἀνθάδε ταὐτὸ γεγονέναι;

Καὶ ἀλλαχοῦ χρῆται τῷ ἐρωτηματικῷ τρόπῳ τοῦ λέγειν, οἷον ἐν I. 357,20 — 347,5—351,9—359,21—360,6—365,2 — 372,19 — 373,24 — 375,4 — 378,15—382,6—383,13 — 386,26 κ. ἑ — 388,20 — 395,29 — 399,13 — 410,16 — 411,7 416,17 — 433,26 — II. 9,5 — 13,25—29,17—68,22—69,3— 76,29 — 77,24 — 83, 13 — 85,26—99,2—131,8—156,30— καὶ ἐν ἄλλοις πολλοῖς

Δημοσθ. 1,26: ἂν δ'ἐκεῖνα Φίλιππος λάβῃ, τίς αὐτὸν κωλύσει δεῦρο βαδίζειν; Θηβαῖοι; οἵ, μὴ λίαν πικρὸν εἰπεῖν, καὶ συνεισβαλοῦσιν ἑτοίμως· ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τ' ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσηθ'ὑμεῖς. ἢ ἄλλος τις; ἀλλ'ὦ τᾶν, οὐχὶ βουλήσεται.

3, 16: τίνα γὰρ χρόνον ἢ τίνα καιρόν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν ἡμῶν προείληφε τὰ χωρία ἄνθρωπος, εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα; οὐχ οὕς, εἰ πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν πολεμοῦνται; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ἡμέτερα; οὐ βάρβαρος; οὐχ ὅ τι ἂν εἴποι τις;

8, 17: Εἰ δ'ἅπαξ διαλυθήσεται, τί ποιήσομεν, ἂν ἐπὶ Χερρόνησον ἴῃ; κρινοῦμεν Διοπείθην νὴ Δία, καὶ τί τὰ πράγματ' ἔσται βελτίω; ἀλλ' ἐνθένδε ἂν βοηθήσαιμεν αὐτῷ· ἂν δ'ὑπὸ τῶν πνευμάτων μὴ δυνώμεθα; ἀλλὰ μὰ Δί' οὐχ ἥξει· καὶ τίς ἐγγυητής ἐστι τούτου;

9, 34: Οὐ Κορινθίων ἐπ' Ἀμβρακίαν ἐλήλυθε καὶ Λευκάδα; οὐκ Ἀχαιῶν Ναύπακτον ὀμώμοκεν Αἰτωλοῖς παραδώσειν; Οὐχὶ Θηβαίων Ἐχῖνον ἀφῄρηται; καὶ νῦν ἐπὶ Βυζαντίους πορεύεται συμμάχους ὄντας; οὐχ ἡμῶν, ἐῶ τἄλλα, Χερρονήσου τὴν

μεγίστην ἔχει πόλιν Καρδίαν;

12, 15: Τί οὖν ἐχρῆν με ποιεῖν; οὐ δίκην λαβεῖν παρὰ τῶν ὑπερβεβηκότων τοὺς ὅρκους; οὐ τιμωρήσασθαι τοὺς οὕτως ὑπερηφάνως ἀσελγαίνοντας; καὶ γὰρ εἰ Πεπαρηθίων ἦν νῆσος, τί προσῆκεν ἀπαιτεῖν Ἀθηναίους; εἰ δὲ ὑμετέρα, πῶς οὐκ ἐκείνοις ὀργίζεσθε καταλαβοῦσι τὴν ἀλλοτρίαν;

18, 24: Τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν· ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε.

18, 158; Τίς οὖν ὁ ταῦτα συμπαρασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς; τίς ὁ τῶν κακῶν τῶν γεγενημένων μάλιστα αἴτιος; οὐχ οὗτος;

18, 241: Τί ποιεῖν ἂν ἢ τί λέγειν τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί; οὐχ ὡς ἐξεδόθησαν; οὐχ ὡς ἐπηλάθησαν βουλόμενοι μεθ' ἡμῶν εἶναι; κ. τ. λ.

18, 282: Καίτοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; τῷ δ' ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ' ἀνδρὸς ῥήτορος ἢ εἰ μὴ ταὐτὰ φρονεῖ καὶ λέγει;

18, 311: τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλει; τίς δὲ βοήθεια ἢ κτῆσις εὐνοίας ἢ δόξης; τίς δὲ πρεσβεία, τίς διακονία, δι' ἣν ἡ πόλις ἐντιμοτέρα; τί τῶν οἰκείων ἢ τῶν Ἑλληνικῶν καὶ ξενικῶν, οἷς ἐπέστης. ἐπηνώρθωται; ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν; τί τῶν ἁπάντων σὺ χρήσιμος εἶ; τίς ἢ τοῖς εὐπόροις ἢ τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων;

Ἔτι δὲ καὶ ἐν 8,20—9,26—9,32—18,101— 18, 191 — 18,301 — 19,42. 200. 232. 250. 278. 294. 303. 334 — 20,63.83 — 21,97 — 22,2—23,31.214— 24,30.58.93.98.152. 216—25,26.63.67.98.100—27,38—35,47—36,53—39,8.12.

15.16—43,48.49 — 49,51—52,27—55,16—57,55—59,107. καὶ ἐν πολλοῖς ἄλλοις.

Πρὸς δὲ ἄφθονός ἐστιν ἐν ταῖς ἐπιμαρτυρίαις ὥσπερ καὶ ὁ Δημοσθένης.

Δίων Χρυσ. I. 354, 23: Καίτοι μὰ τὸν Δία καὶ τοὺς θεοὺς κ. τ. λ.

I. 354,30: οὔτε μὰ τοὺς θεοὺς ἐλευθέρων ἐστὶν κ. τ. λ.
I. 357,22: ἢ νὴ Δία κατάρχων καὶ προκαλούμενος κ. τ. λ.
I. 358, 6: νὴ Δία, ἀλλὰ δαπανήσομεν,
I. 359, 4: νὴ Δία τούτων ἁπτόμεθα.
I. 360, 2: ἀλλὰ νὴ Δία βοήσονται.
I. 364, 7: νὴ Δία, ταῦτα γάρ ἐστιν ἀναθήματα.
I. 365, 1: οὐ μὰ Δία χιλίας δραχμὰς κ. τ. λ.
I. 369, 6: ἢ νὴ Δία πέφηνέ τι δεινὸν κ. τ. κ.
I. 369,21: νὴ Δία, ἀλλ'οὐχ ὅμοιόν ἐστιν
I. 378,14: νὴ Δί', ἀλλὰ κωλύσουσιν κ. τ. λ.
I. 380, 7: νὴ Δία, ἀνάγκην γὰρ ἡμεῖς κ. τ. λ.
I. 383,17: νὴ Δί', ἀλλ' αἰσχρόν,
I. 386,17: οὐ μὰ τὸν Δία λοιδωρῆσαι βουλόμενος
I. 391,15: νὴ Δί', αἰσχύνην γὰρ οὐ μικρὰν ἔχει νόμος
I. 416,16: μὰ Δί', οὐ δι' αὐτῶν κ. τ. λ.
I. 418, 2: νὴ Δία, τὸ γὰρ πρᾶγμα κ. τ. κ.
I. 418, 4: καὶ νὴ Δία αὐλοῦσι καὶ τρέχουσι κ. τ. λ.
I. 432,21: μὰ Δί' οὐκ ἐτίμησαν αὐτόν,
I. 427, 3: μὰ Δί', οὐχ ὑπὲρ τῶν ἵππων,
I. 431,13: καὶ Δία ἑαλωκέναι κ. τ. λ.
I. 433, 3: μὰ Δί'οὐ κρήναις οὐδὲ Προπυλαίοις.

Ἔτι δὲ καὶ ἐν II 3,23—10,25—11,24—13,32—15,31 —16,7 — 25,12, — 27,12.23—28,9—30,2—32,7—33,27—43,8 . 58,18—60,2—89,25—92,23—96,6—118,13—127,4

— 127,11 — 131,10 — 139,10—142,5—143,24—150,8 — 154,27—156,25—168,25— καὶ ἀλλαχοῦ.

Δημοσθ. 1,19: μὰ Δί' οὐκ ἔγωγε.

1, 23: καὶ μὰ Δί' οὐδὲν ἄπιστον ἴσως.

4, 10: ἐπειδὰν νὴ Δί' ἀνάγκη τις ᾖ.

4, 11: οὐ μὰ Δί' ἀλλ' ἀσθενεῖ.

4, 25: μὰ Δί' οὐχ ἡμεῖς γε,

4, 49: οὐ μέντοι γε μὰ Δί' οὕτω προαιρεῖσθαι πράττειν

6, 13: Ἀλλὰ νὴ Δί', εἴποι τις ἂν κ. τ. λ.

6, 14: Ἀλλ' ἐβιάσθη νὴ Δία

6, 23: Ἔτι τοίνυν νὴ Δί', ἔφην ἐγώ, παντοδαπὰ κ. τ. λ.

8, 7: πλὴν εἰ τοῦτο λέγουσι νὴ Δί', ὡς

8, 9: ἀλλὰ νὴ Δία ταῦτα μὲν ἐξελέγχονται,

8, 16: νὴ Δία, κακοδαιμονοῦσι γὰρ ἄνθρωποι,

8, 17: ἀλλὰ μὰ Δί' οὐχ ἥξει

8, 17: κρινοῦμεν Διοπείθην νὴ Δία.

8, 19: καὶ λογιζομένους χρὴ μὰ Δί' οὐχ ἣν Διοπείθην

8, 28; οὐ μὰ Δία δαπάναις καὶ τριήρεσι

8, 49: αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας θεοὺς

8, 51: ὅταν νὴ Δί' ἀνάγκη τις ᾖ.

Ἔτι δὲ καὶ ἐν 9,54. 65. 68. 70—10,7.17. 25. 27. 50—11,18 — 13,16.21.28 — 14,38 —15,13—16,6—18,101.251. 261—19. 46. 52. 141. 158. 188. 212. 215. 222. 235. 272. 285 —20, 3. 20. 38. 56. 58. 75—21, 25. 41. 88. 98. 99. 149. 160. 198. 222—22, 69 καὶ ἐν πολλοῖς ἄλλοις:

Ἔτι δὲ δαψιλής ἐστιν ἐν ταῖς προσφωνήσεσιν, αἳ τὸν τύπον τῶν τοῦ Αἰσχίνου καὶ τῶν ἐν ταῖς δημηγορίαις τοῦ Ξενοφῶντος φέρουσι μᾶλλον ἢ τὸν τῶν τοῦ Δημοσθένους:

Δίων Χρυσόστ. Ι. 343, 29: Εἰκὸς μέν ἐστιν, ὦ ἄνδρες Ῥόδιοι,

I. 375, 16: σκοπεῖτε γάρ, ἄνδρες Ῥόδιοι,
I. 386, 14: ἀλλ'οὐκ ἂν ὑμεῖς, ἄνδρες Ῥόδιοι,
I. 429, 29: καὶ μὴν αἰσχρόν, ἐστιν, ἄνδρες Ἀλεξανδρεῖς,
II. 6, 15: ἡγεῖσθε μὲν γάρ, ὦ ἄνδρες,
II. 20, 4: καὶ ὑμεῖς, ἄνδρες Ταρσεῖς,
II. 24, 23: ὑμῖν γάρ. ἄνδρες Ταρσεῖς,
II. 33, 31: οὕτω φέρεσθε, ἄνδρες Ταρσεῖς,
II. 39, 9: οὐκ ἐπιδειξόμενος ὑμῖν, ὦ ἄνδρες,
II. 67, 19; ὅταν ἐκλογίσωμαι τὰς αἰτίας, ἄνδρες Νικομηδεῖς, δι' ἃς κ. τ. λ.
II. 69, 14: παρ' ὑμῶν, ἄνδρες Νικομηδεῖς,
II. 70, 4: φημὶ δεῖν ὑμᾶς, ἄνδρες Νικομηδεῖς,
II. 77, 24: ποῖον, ἄνδρες Νικομηδεῖς, πρωτεῖον;
II. 78, 4: καθ'ὅλου δ'εἴ τις ὑμᾶς ἔροιτο, Ἄνδρες Νικομηδεῖς, τί βούλεσθε κ. τ. λ.
II. 80, 26: καὶ γάρ ἐστιν ἁμαρτήματα, ἄνδρες Νικομηδεῖς, ἀληθῶς.
II. 82, 20: εἴ τις ὑμῖν, ἄνδρες Νικομηδεῖς,
II. 117, 2: ἔστι γάρ, ὦ ἄνδρες, καὶ δήμου παιδεία
II. 118, 1: Ἄνδρες πολῖται, βούλομαι ὑμῖν
II. 124, 10: ἐφ' οἷς ποιεῖτε, ὦ ἄνδρες, τοιούτοις κ. τ. λ.
II. 125, 22: σκοπεῖτε δὲ καὶ τοὐμόν, ὦ ἄνδρες,
II. 138, 1: πρῶτον μέν, ὦ ἄνδρες, τῷ κρατίστῳ
II. 150, 1: Ἐγὼ καὶ πρότερον μὲν ὑμᾶς ἠγάπων, ὦ ἄνδρες, ὥσπερ εἰκὸς ἦν κ. τ. λ.
II. 154, 1: Σφόδρα θαυμάζειν ἔπεισιν, ὦ ἄνδρες,
II. 299, 12: ἄνδρες δικασταί, ἅπαντά φασι κ. τ. λ. καὶ ἀλλαχοῦ.
Δημοθ. 1, 1: Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι,
1, 2: Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι,

1, 8: οὐ δεῖ δὴ τοιοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι,
1, 14: ἵνα γνῶτε, ὦ ἄνδρες Ἀθηναῖοι

Καὶ ἐν 1, 15. 16. 19. 24. 25—2, 1. 2. 3. 4. 6. 8. 10. 12. 15. 20. 22. 24. 25. 26. 28. 29. καὶ πλεῖστα ἄλλα δυνάμενος παραθέσαι παραλείπω, ἡγούμενος ἱκανὰ ταῦτα τὸ πρᾶγμα πιστῶσαι.

Αἰσχ. 1, 1: Οὐδένα πώποτε τῶν πολιτῶν, ὦ Ἀθηναῖοι,
1, 135: ἄνδρες Ἀθηναῖοι, τέθραμμαι μὲν κ. τ. λ.
2, 7: Περὶ τῆς ἄλλης κατηγορίας δέομαι ὑμῶν, ὦ ἄνδρες, ἐάν τι παραλίπω κ. τ. λ.
2, 24: ἐπαινῶ δ' εἰς ὑπερβολὴν πάντας ὑμᾶς, ὦ ἄνδρες,
3, 177: προλέγω ὑμῖν, ἄνδρες Ἀθηναῖοι.
3, 209: ποῖ φύγω, ἄνδρες Ἀθηναῖοι,
3, 211: ἄνδρες Ἀθηναῖοι τὸν μὲν στέφανον κ. τ. λ. καὶ ἀλλαχοῦ.

Ξενοφ. Ελλ. 2, 4, 13: Ἄνδρες πολῖται, τοὺς μὲν κ.τ.λ.
Κύρ. Παιδ. 2, 3, 2: Ἄνδρες Φίλοι, ὁ μὲν ἀγὼν κ. τ. λ.
4, 1, 2: Ἄνδρες Πέρσαι, πρῶτον μὲν τοὺς θεοὺς κ. τ. λ.
5, 3, 30: Ἄνδρες σύμμαχοι, Γαδάτας κ. τ. λ.
Κύρου Ἀνάβ. 2, 2, 3: Ἐμοί, ὦ ἄνδρες, θυομένῳ κ. τ. λ.
6, 6, 17: Ἐγώ, ὦ ἄνδρες, ὄμνυμι θεοὺς καὶ θεὰς κ. τ. λ.

Τελευταῖον ἁμιλλᾶται, ὅπως καὶ τὸ λεκτικὸν αὐτοῦ κατά τε τὸ τοῦ Πλάτωνος, Ξενοφῶντος, Δημοσθένους καὶ Αἰσχίνου μορφώσῃ, δι' ὃ καὶ φράσεις παρ' αὐτῶν παραλαμβάνει, ὃ δὴ καὶ ὑποτυπῶσαι βούλομαι ἐν τοῖς ἑξῆς.

ΚΕΦ. Β'

ΤΙ ΔΕΙ ΛΕΓΕΙΝ.

Ἡ πρότασις, «τί δεῖ λέγειν;» δὶς μὲν παρὰ Πλάτωνι
Ἐν Συμπ. 217 C: καὶ τί δεῖ λέγειν;
Συμπ. 288 B: Σωκράτη δὲ αὐτὸν τί δεῖ λέγειν;
Καὶ δὶς παρ' Αἰσχίνῃ ἀπαντῶσα
Ἐν 3, 51: τί γὰρ δεῖ νῦν ταῦτα λέγειν;
3, 141: καὶ τί δεῖ τὰ πλείω λέγειν;
Πολλάκις δὲ παρὰ Δημοσθένει, οἷον ἐν
9, 25: καὶ τί δεῖ τοὺς ἄλλους λέγειν;
9, 59: καὶ τί δεῖ τὰ πολλὰ λέγειν;
18, 152: καὶ τί δεῖ τὰ πολλὰ λέγειν;
22, 15: καὶ τί δεῖ τὰ πολλὰ λέγειν;
23, 114: καὶ τί δεῖ Φίλιππον λέγειν;
Καὶ ἐν 25, 27. 79 — 26, 7—37, 12 — 55, 26, 57,33 — καὶ ἐν 57, 61.

Οὐκ ἀσυνήθης Δίωνι τῷ Χρυσοστόμῳ, ᾗ πολλαχοῦ τῶν αὐτοῦ λόγων χρῆται. οἷον ἐν

I. 118, 10: καὶ τί με, ἔφην, δεῖ λέγειν;
I. 210, 26: καὶ τί δεῖ τἀνθρώπεια λέγειν;
I. 374, 19: καὶ τί δεῖ λόγων;
I. 394, 9: περὶ μὲν γὰρ τῶν παρ' ἄλλοις τί δεῖ λέγειν;
II. 80, 1: τί δεῖ πρὸς ἐπισταμένους λέγειν;
II. 213, 2: τί δεῖ λέγειν τοὺς διαδεξαμένους κ. τ. λ.
II. 246, 32: ἀλλὰ τί δεῖ ταῦτα λέγειν;

ΤΙ ΕΣΤΙ ΤΟΥΤΟ

Ὁ Δημοσθένης πολλάκις ἐν τοῖς αὐτοῦ λόγοις μετά τι, ὅπερ λέγει, ἐρωτᾷ περὶ οὗ εἴρηκε διὰ τῆς προτάσεως «τί οὖν ἐστι τοῦτο» καὶ εἶτα βαίνει ἀπαντῶν ἐν τῇ αὐτοῦ ἐρωτήσει. Τὴν πρότασιν ταύτην εὑρίσκομεν καὶ παρὰ Πλάτωνι ἐν τοῖς διαλόγοις αὐτοῦ. Αὕτη ἀπαντᾷ παρὰ Δίωνι ἔν τε τοῖς διαλογικοῖς αὐτοῦ λόγοις καὶ τοῖς μή.

Δίων Χρυσ. I. 75, 18: τί οὖν τοῦτό ἐστιν;
I. 155, 13: τοῦτο δὲ τί ἔστιν;
I. 257, 19: τί οὖν δὴ τοῦτο;
I. 361, 4: τί οὖν τοῦτό ἐστι;
II. 11; 5: τί δὲ τοῦτ᾽ ἔστιν;
II. 76, 1: καὶ τί τοῦτό ἐστιν;
II. 207, 25: τί δὲ ἄρα τοῦτο ἦν;
II. 273, 7: τί οὖν δὴ τοῦτο;
Πλάτων Φαίδ. 58 A: τοῦτο δὲ δὴ τί ἐστιν;
Κρατύλ. 437 D: τί οὖν τοῦτο;
Ἵππαρχ. 227 D: τί οὖν δὴ τοῦτο;
Εὐθύδ. 279 D: τί οὖν δὴ τοῦτο;
Εὐθύδ. 286 A: τί οὖν δὴ τοῦτο;
Ἱππ. Μειζ. 289 E: τί οὖν τοῦτο;
Δημοσθέν. 4, 2: τί οὖν ἐστι τοῦτο;
6, 24: τί οὖν ἐστι τοῦτο;
8, 7: τί οὖν ἐστι τοῦτο:
9, 5: τί οὖν ἐστι τοῦτο;
9, 22: τί οὖν ἐστι τοῦτο;
9, 37: τί οὖν ἦν τοῦτο;
9, 39: ταῦτα δ᾽ ἔστι τί;

Καὶ ἐν 18, 246 — 19,166.221.217 — 20,134.23,31.33.38 24, 171. 200 — 37,24 — Επ. Α! 6.

ΤΙΝΟΣ ΕΝΕΚΑ; ΤΙΝΟΣ ΧΑΡΙΝ;

Πολλάκις ὁ Δημοσθένης λέγων τι ἐρωτᾷ τὴν αἰτίαν τοῦ λεχθέντος διὰ τοῦ «τίνος ἕνεκα ἢ τίνος χάριν» καὶ εἶτα ἐκφράζεται ὁ αὐτὸς τοῖς αὐτοῦ ἀκροαταῖς τὴν αἰτίαν. Τοιαύτας προτάσεις, ἃς ἅπαξ καὶ παρ' Αἰσχίνῃ, ἅπαξ δὲ καὶ παρὰ Πλάτωνι ἀναγιγνώσκομεν, τετράκις ἐν τοῖς αὐτοῦ λόγοις Δίων ὁ Χρυσόστομος παρέλαβεν.

Δίων Χρυσ. I. 373,17: τίνος ἕνεκα; ἑνὸς μέν, ὅπως μηκέτι δοκῶν πολίτης εἶναι πάσχῃ κ. τ. λ.

I. 386, 16: τίνος οὖν ἕνεκα ἐπεμνήσθην; οὐ μὰ τὸν Δία λοιδωρῆσαι βουλόμενος.... ἀλλ' ὅπως εἰδῆθ' ὅτι κ. τ. λ.

I. 399, 13: τίνος οὖν χάριν ταῦτα παυόμενος ἤδη λέγω καὶ τί δηλῶσαι βουλόμενος; ὅτι τοσούτῳ μᾶλλον κ. τ. λ.

II. 93, 4: τίνος οὖν ἕνεκα εἴρηκα πάντα τοῦτον τὸν λόγον, ὑπὲρ ἄλλων ὑμῶν βουλευομένων; ὅτι καὶ τούτου τοῦ πράγματος κ. τ. λ.

Πλάτ. Πρωτ. 343 B: τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος κ. τ. λ.

Αἰσχ. 3, 175: τίνος ἕνεκα; ἵνα ἕκαστος ἡμῶν τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος κ. τ. λ.

Δημοσθ. 2, 28: Τίνος γὰρ ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγούς, ἰδίους δ' εὑρίσκειν πολέμους, εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν; ὅτι ἐνταῦθα μέν ἐστι τὰ ἆθλα, ὑπὲρ ὧν ὁ πόλεμος, ὑμέτερα κ. τ. λ.

4, 3: τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἵνα εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεάσησθε ὅτι κ. τ. λ.

10, 7: Τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξέρχομαι; ἵνα ὑμῶν ἕκαστος... τοῦτο γνῶ καὶ εἰδῇ, ὅτι κ. τ. λ.

Καὶ ἐν 21, 56 — 22, 66 — 24,34 — 24,173 —37,27— 41,5 — καὶ 45, 11.

ΠΟΘΕΝ;

Ὁ Δημοσθένης καὶ Αἰσχίνης λέγοντές τι, ὅπερ πιστεύουσιν, ὅτι οὐκ ἦν ἄλλως γενέσθαι ἢ ὡς αὐτοὶ λέγουσιν, ἐρωτῶσι διὰ τοῦ »πόθεν;» οὗ τὸ πλῆρες εἴη ἄν: πόθεν οἷόν τ'ἔστιν ἄλλως ἔχειν ἢ ὡς ἐγὼ λέγω; Ἔτι δὲ καὶ παρὰ Πλάτωνι τὸ ἕτερον τῶν διαλεγομένων προσώπων ἢ καὶ αὐτὸ τὸ λέγον ἐρωτᾷ διὰ τοῦ «πόθεν;», οὐχὶ ὅμως περί τινος, ὅπερ πιστεύει, ὅτι πάντως οὕτως ἔχει, ὡς ἐλέχθη, ὥσπερ ὁ Δημοσθένης καὶ Αἰσχίνης, ἀλλὰ περί τινος, ὅπερ οἴεται, ὅτι οὐκ ἔχει ὡς λέγει. Ἐπὶ τοιαύταις περιπτώσεσιν οὐκ ὀλίγην χρῆσιν καὶ Δίων ὁ Χρυσόστομος τοῦ «πόθεν» ποιεῖται.

Δίων Χρυσ. I. 163, 17: ἢ οὖν δοκεῖ σοι ὁμοία εἶναι ἡ ὄνου χρῆσις τῇ ἵππου; πόθεν;

I. 346, 7: ταῦτα τοίνυν ἡγεῖσθε, ἄνδρες Ῥόδιοι, πάνυ φαύλως τὰ παρ' ὑμῖν ἔχοντα καὶ τῆς πόλεως οὐκ ἀξίως, τὰ περὶ τοὺς εὐεργέτας λέγω καὶ τὰς τιμὰς τῶν ἀγαθῶν ἀνδρῶν οὐκ ἀρχῆθεν ὑμῶν οὕτω τῷ πράγματι χρωμένων· πόθεν;

I. 360, 7: ἆρ' οὖν οἱ τότε ὄντες οὕτω προσεφέροντο τοῖς κατὰ μέρος; πόθεν;

I. 376,13: ἀλλ' οὐκ ἐκείνοις ὅμοιοι· πόθεν;

I. 413, 7: οὐδ' ἂν περὶ ἰχθύων τὴν πόλιν ἐπαινεῖ· πόθεν;

I. 434, 13: ἀλλ' ἐστὲ ἱλαροὶ καὶ σκῶψαι πάντων δεινότατοι οὐ δήμου τὸ ἐπιτήδευμα· πόθεν;

Καὶ ἐν II. 3, 1 — 7, 5 — 10, 10 — 17, 18—31,7—153,8 188,23 — 228, 16.

Δημοσθεν. 18, 47: ἀλλ' οὐκ ἔστι ταῦτα· πόθεν;

18, 52 : ἀλλ' οὐκ ἔστι ταῦτα· πόθεν ;

18,140: τὸ δ' οὐ τοιοῦτόν ἐστι· πόθεν ;

19, 30: τοῦτο δὴ δεῖ σκοπεῖν καὶ ὁρᾶν, εἰ ὅσα τῆς Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκε, ταῦθ' ἅπαντ' ἀπώλεσαν οὗτοι καὶ διέφθειραν ἑκόντες, οὐχ ὡς ὅδε Φωκέας ἀπώλεσε καθ' ἑαυτόν· πόθεν ;

24, 157· οὐ γὰρ ἁπλῶς, οὐδ' ὅπως ἔτυχον, ποιοῦσι κακῶς ὑμᾶς, ἀλλ' ἐσκεμμένως καὶ τοῦτ' αὐτὸ πράττοντες, οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ πολλοὶ τῶν πολιτευομένων, οἱ τούτῳ παριόντες αὐτίκα δὴ μάλα συναπολογήσονται, οὐ μὰ Δί' οὐ Τιμοκράτει χαρίσασθαι βουλόμενοι, πόθεν ;

Αἰσχ. 1. 109 : Ἀλλ' ἴσως καθ' αὐτὸν μὲν ἄρχων φαῦλος ἦν, μετὰ πλειόνων δὲ ἐπιεικής· πόθεν ;

Πλατ. Γοργ. 471. D: καὶ ἐγὼ ὑπὸ σοῦ νῦν, ὡς σὺ οἴει, ἐξελήλεγμαι τούτῳ τῷ λόγῳ φάσκων τὸν ἀδικοῦντα οὐκ εὐδαίμονα εἶναι; πόθεν ὦ 'γαθέ ;

Λύσ. 208 B: Ἀλλὰ τοῦ ὀρικοῦ ζεύγους, οἶμαι, ἐπιτρέψουσί σοι ἄρχειν, κἂν εἰ βούλοιο λαβὼν τὴν μάστιγα τύπτειν, ἐῷεν ἄν· πόθεν, ἦ δ' ὅς, ἐῷεν ;

221 C: Οὐ μὰ Δία, ἔφη, ἀλλ' ἵνα αὐτὸν κολάσῃς· πόθεν ;

Ἱππ. Μειζ. εἰ δὲ μή, πράγματ' ἂν εἶχες ἐκμανθάνων. Πόθεν, ὦ Σώκρατες ;

Μενέξ. 235 C: Ἀεὶ σὺ προσπαίζεις . . . τοὺς ῥήτορας· νῦν μέντοι οἶμαι ἐγὼ τὸν αἱρεθέντα οὐ πάνυ εὐπορήσειν· ἐξ ὑπογύου γὰρ παντάπασιν ἡ αἵρεσις γέγονεν, ὥστε ἴσως ἀναγκασθήσεται ὁ λέγων ὥσπερ αὐτοσχεδιάζειν.

Πόθεν, ὦ 'γαθέ ;

ΣΚΟΠΕΙ κ. τ. λ. ΣΚΟΠΕΙΤΕ κ. τ. λ. ΣΚΕΨΑΣΘΕ κ. τ. λ.

Ὁ Δημοσθένης καὶ Αἰσχίνης πρὸς τοὺς ἑαυτῶν ἀκροατὰς ὁμιλοῦντες, πρὸς δὲ καὶ τὰ διαλεγόμενα πρόσωπα παρὰ Πλάτωνι, ἄρχονται τῶν προτάσεων διὰ τῶν „σκόπει, σκοπεῖτε, σκέψασθε", βουλόμενοι οἱωνεὶ τοὺς ἀκροατὰς προετοιμάσαι μετὰ προσοχῆς καὶ ἐσκεμμένως ἀκοῦσαι τὰ λεχθησόμενα ἢ τηρῆσαι τὴν προτέραν αὐτῶν προσοχὴν καὶ μὴ ἐᾶσαι αὐτὴν ἐπ' ἄλλα πλανωμένην, ἢ καὶ ὅπως ὁ ἐρωτώμενος μετὰ σκέψεως καὶ οὐχὶ ἀπαράσκευος ἀποκριθῇ εἰς τὰ ἐρωτώμενα, ὡς ἐν πολλοῖς παρὰ Πλάτωνι.

Ταῖς τοιαύταις προτάσεσι πολλαχοῦ ὁμοίως χρῆται καὶ Δίων ὁ Χρυσόστομος.

Δίων. Χρυσ. Ι. 182, 10: Σκόπει δέ, ἔφη, τὴν εὐήθειαν τοῦ ἐναντίου λόγου.

Ι. 204, 1: σκοπεῖτε δὲ τἀναντία πῶς ἐστι γελοῖα, ἀφελόντες τὴν δόξαν καὶ τὸ προκαταλῆφθαι.

Ι. 362, 1: σκοπεῖτε δὲ ὅτι πάντες ἡγοῦνται κυριώτερα ταῦτα ἔχειν, κ. τ. λ.

Ι. 368, 9: σκέψασθε παραθέντες τῷ νῦν ἐξεταζομένῳ πράγματι.

Ι. 375, 16: σκοπεῖτε γάρ, ἄνδρες Ῥόδιοι, τὴν αἰτίαν, δι' ἣν εἰκὸς τεθῆναί τινας οὕτως.

Ι. 415, 3: σκοπεῖτε δὲ μὴ περὶ ὑμῶν ἀληθέστερον οὗτοι λέγωσιν ἢ περὶ τῶν Ἑλλήνων Ἀνάχαρσιν τὸν Σκύθην φασὶν εἰπεῖν.

Ι. 422, 6: σκοπεῖτε οὖν, εἰ βούλεσθε ἀκοῦσαι, καὶ μὴ δυσχεράνητε.

Ι. 427. 19: σκοπεῖτε δὲ μὴ καὶ ὑμεῖς ὑπὸ τῆς τοιαύτης ἐπιθυμίας ἀπόλησθε.

Καὶ ἐν Π. 3, 15 — 3, 21—53, 3 — 120, 30 – 125,22—126, 9—136, 8—156, 5—191,11 καὶ 290, 25.

Δημοσθεν. 9, 3: σκοπεῖτε γὰρ ὡδί. κ. τ. λ.

13, 21 : καίτοι σκέψασθε πῶς ἐπὶ τῶν προγόνων ταῦτ' εἶχεν.

13, 26: Σκέψασθε δὲ ἅ τις κεφάλαια ἂν ἔχοι τῶν πραγμάτων εἰπεῖν, κ. τ. λ.

15, 26 : φέρε γὰρ πρὸς θεῶν σκοπεῖτε, τί δήποτ' ἐν Βυζαντίῳ οὐδεὶς ἐσθ' ὁ διδάξων κ. τ. λ.

16, 9 : σκοπεῖτε δὴ πρὸς ὑμᾶς αὐτοὺς ποτέραν τὴν ἀρχὴν καλλίονα καὶ φιλανθρωποτέραν ποιήσεσθε καὶ ἐν 19, 53.148. 221.257.278 — 20, 36, 87 —21,73—24,34.79.117—25,3.38. 51 — 27,29—29,10.32—31,6—33,32—34,5—35,54—38,12 — 39,38— 41,20— 44,17-- 45,11—45,49.63 —46,10.16.18. 24— 49,37-- 51,9— 52,25— 54,43—55,16.28—85,34—57, 33 — 59, 11. 64.

Αἰσχ. 1, 14 : σκέψασθε δή, ὡς καλῶς, ὦ 'Αθηναῖοι, ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιίας, ὥσπερ κ. τ. λ.

1, 24: σκέψασθε δή, ὡς καλῶς, ὦ 'Αθηναῖοι; οὐκ ἠγνόει οἶμαι ὁ νομοθέτης· κ. τ. λ.

1, 26: σκέψασθε δέ, 'Αθηναῖοι, ὅσον διαφέρει ὁ Σόλων Τιμάρχου κ. τ. λ.

1, 39: Σκέψασθε δέ, ὦ 'Αθηναῖοι ὡς μετρίως μέλλω προσφέρεσθαι Τιμάρχῳ τουτῳί.

1, 74: Σκέψασθε δὲ καὶ ἐκ παραδειγμάτων.

1, 120: ἐγὼ δὲ πρὸς ταῦτ', ὦ 'Αθηναῖοι, σκέψασθ', ἂν ἁπλοῦν καὶ ἐλευθέριον δόξω ὑμῖν λέγειν.

1, 153: σκέψασθε δ', ὦ 'Αθηναῖοι, τὰς γνώμας ἃς ἀποφαίνεται ὁ ποιητής.

Καὶ ἐν 2, 7. 57. 69. 153. 154. 160. 3, 115.

Πλατ. Ἀπολογ. 21, B: Σκέψασθε δὲ ὧν ἕνεκα ταῦτα λέγω.

27 A; Ξυνεπισκέψασθε δή, ὦ ἄνδρες, ῇ μοι φαίνεται ταῦτα λέγειν.

Κριτ. 50 A: Ἀλλ' ὧδε σκόπει

51 C: Σκόπει τοίνυν, ὦ Σώκρατες, φαῖεν ἂν ἴσως οἱ νόμοι.

53 A: Σκόπει γὰρ δή, ταῦτα παραβὰς καὶ ἐξαμαρτάνων τι τούτων τί ἀγαθὸν ἐργάσει σαυτόν, Φαίδων 74 A: Σκόπει δή, ἦ δ' ὅς, εἰ ταῦτα οὕτως ἔχει.

80 A: Σκόπει δή, ἔφη, ὁ Κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων τάδε ἡμῖν ξύμβαίνει, κ. τ. λ.

100 C: Σκόπει δή, ἔφη τὰ ἑξῆς ἐκείνοις, κ.. τ. λ.

104 A: Σκόπει δὲ περὶ τῆς τριάδος, κ. τ. λ.

Καὶ ἐν Κρατύλ. 391 B — 399 A — 432 B — Θεαίτ. 128 A. 148 C — Συμπ. 176 B. 200 A. 200 D — Ἀλκ. 109 A — Χαρμ. 165 C — Λάχ. 189 C — Λύσ. 206 B — Εὐθυδ. 283 C. 304 B — Γοργ. 452 C. — 453 C. — 493 D. — 510 B. 521 E — Μέν. 85 A. 88 A. B — Πολ. α! 352 D. γ! 387 D! δ! 430 E. δ! 436 C. ε! 470 D. ϑ! 578 C. — Μίν. 313 A — καὶ ἐν Σισύφ. 391 A.

Α ΝΥΝ ΔΗ ΕΙΠΟΝ κ. τ. λ. Α ΝΥΝ ΔΗ ΕΛΕΓΟΜΕΝ

Τὰς προτάσεις „ἃ νῦν δὴ εἶπον, ἃ νῦν δὴ ἐλέγομεν“ ἃς καὶ ἐν ἄλλοις προσώποις πολλαχοῦ ἐν τοῖς Πλατωνικοῖς διαλόγοις ἔστιν ἰδεῖν, τρὶς ἐν τοῖς λόγοις αὐτοῦ Δίων ὁ Χρυσόστομος παρέλαβεν.

Δίων Χρυσόστ. II. 240, 14: καὶ ὧν νῦν δὴ εἶπον

ἔκδηλα καὶ φανερά.

II. 275, 10: ἀλλ' εἰ κυβερνήταις τε καὶ ἰατροῖς καὶ οἷς νῦν δὴ ἐλέγομεν οὐ βέλτιον κ. τ. λ.

II. 275, 22: οὔτε θαυμάζει τὸ παράπαν οὐδὲν οὔτε ἄξιον σπουδῆς νενόμικεν, οἷον δὴ χθὲς περὶ πλούτου ἐλέγομεν.

Πλατ. Κρίτ. 48 C: ἡμῖν δ' ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἢ ὅπερ νῦν δὴ ἐλέγομεν.

46 D: ἐλέγετο δέ πως, ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων τὶ λέγειν, ὥσπερ νῦν δὴ ἔλεγον, ὅτι τῶν δοξῶν κ. τ. λ.

Απολ. 37 C: ἀλλὰ ταυτόν μοί ἐστιν, ὅπερ νῦν δὴ ἔλεγον.

Φαίδ. 62 D: ἔοικε τοῦτο, ὦ Σώκρατες, ἀτόπῳ, εἴπερ ὃ νῦν δὴ ἐλέγομεν εὐλόγως ἔχει.

62 E: τοὐναντίον εἶναι εἰκὸς ἢ ὃ νῦν δὴ ἐλέγετο.

71 C: τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν ὧν νῦν δὴ ἔλεγον ἐγὼ σοῦ κ. τ. λ.

74 D: ἦ πάσχομέν τι τοιοῦτον περὶ τὰ ἐν τοῖς ξύλοις τε καὶ οἷς νῦν δὴ ἐλέγομεν τοῖς ἴσοις.

77 A: καλόν τε καὶ ἀγαθὸν καὶ τἆλλα πάντα ἃ σὺ νῦν δὴ ἔλεγες.

77 B: Εἰ, μέντοι καὶ ἐπειδὰν ἀποθάνωμεν ἔτι ἔσται, οὐδ' αὐτῷ μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, ἀποδεδεῖχθαι, ἀλλ' ἔτι ἐνέστηκεν ὁ νῦν δὴ Κέβης ἔλεγε, κ. τ. λ.

Καὶ ἐν Κρατύλ. 384 C: 394 B. 412 E. 415 A. 434 C; — Θεαίτ. 156 A — Παρμ. 129 D — Συμπ. 188 A. 207 C — Φαῖδρ. 230 A — Χαρμ. 156 D. 167 B — Λάχ. 192 B — Εὐθύδ. 273 E. 288 B — Γοργ. 451 A. 455 D. 470 B. 474 A. 485 D. 494 A. 499 D. 504 A. 511 E. 512 C. 526 E. —Μέν. 88 D. 99 C— Ἱππ. Ἐλ. 363 B —Ἴων 533 D 542 A — Πολ. 443 E. 420 A. 525 D. 528 D. καὶ ἀλλαχοῦ.

ΑΛΛ' Η ΤΟ ΛΕΓΟΜΕΝΟΝ.

Ἔτι δὲ καὶ τὴν φράσιν „ἀλλ' ἢ τὸ λεγόμενον“ ἢ »τὸ λεγόμενον«, ἥτις πολλάκις παρὰ Πλάτωνι ἀπαντᾷ, τρὶς ἐν τοῖς λόγοις αὐτοῦ ἀνευρίσκομεν.

Δίων Χρυσ. I. 213,7: Ἀλλ' ἢ τὸ λεγόμενον, ὦ ἄνδρες, ἐγὼ καὶ παρ' ὑμῖν καὶ παρ' ἑτέροις πλείοσι πέπονθα τὸ τῆς γλαυκὸς ἄτοπον καὶ παράδοξον πάθος;

I 236, 10: καὶ δὴ τὸ λεγόμενον, ὡς ἔστιν ἀκοῆς πιστότερα ὄμματα, ἀληθὲς ἴσως.

II. 303, 13: ὑμεῖς γάρ ἐστε νῦν τὸ δὴ λεγόμενον πρῷρα καὶ πρύμνα τῆς Ἑλλάδος, κ. τ. λ.

Πλάτων. Γοργ. 447 Α: Ἀλλ' ἢ τὸ λεγόμενον κατόπιν ἑορτῆς ἥκομεν καὶ ὑστεροῦμεν

514 Ε: τὸ λεγόμενον δὴ τοῦτο ἐν τῷ πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν.

Φαιδ, 66 C: ὥστε τὸ λεγόμενον ὡς ἀληθῶς τῷ ὄντι 101 D: Σὺ δὲ δεδιὼς ἄν, τὸ λεγόμενον τὴν ἑαυτοῦ σκιὰν κ. τ. λ.

Θεαίτ. 153 D: Πάντα χρήματ' ἂν διαφθαρείη καὶ γένοιτ' ἂν τὸ λεγόμενον ἄνω κάτω πάντα.

165 Β: Τί γὰρ χρήσει ἀφύκτῳ ἐρωτήματι, τὸ λεγόμενον ἐν φρέατι συνεχόμενος κ. τ. λ.

Σοφιστ. 226 Α: Ὁρᾷς οὖν ὡς ἀληθῶς λέγεται τὸ ποικίλον εἶναι τοῦτο τὸ θηρίον, καὶ τὸ λεγόμενον οὐ τῇ ἑτέρᾳ ληπτέον;

261 Β: Σχολῇ που τὸ κατὰ τὴν παροιμίαν λεγόμενον, ὅ γε τοιοῦτος ἄν ποτε ἕλοι πόλιν.

Καὶ ἐν Λαχ. 187 Β—Πολ. 362 D, 435 C—Τιμ. 26 Β—Νομ. 745 D — Ἐρυξ. 405 Β καὶ ἀλλαχοῦ.

ΩΣ ΕΙΠΕΙΝ. ΩΣ ΕΠΟΣ ΕΙΠΕΙΝ.

Καὶ τῆς φράσεως «ὡς εἰπεῖν» ἢ „ὡς ἔπος εἰπεῖν“, ᾗ ὁ μὲν Πλάτων κατὰ κόρον χρῆται, ὁ δὲ Δημοσθένης οὐχὶ σπανίως, οὐκ ἄπορον τῷ βουλομένῳ ἐστὶ πλεῖστα ἐκ τῶν τοῦ Δίωνος λόγων παραδείγματα παραθέσθαι.

Δίων Χρυσόστ. I. 78, 27: ὑφ' ὧν ἅπαντες, ὡς εἰπεῖν, ἐλαύνονται τύραννοι κ. τ. λ.

I. 79, 6: τριῶν δὲ ἐπικρατούντων, ὡς ἔπος εἰπεῖν, βίων κ. τ. λ.

I. 134, 7: καὶ μηδενὸς ἀποροῦντες, ὡς ἔπος εἰπεῖν,

I. 244, 5: ἐδόκουν δέ μοι πάντες ἄφρονες, ὡς ἔπος εἰπεῖν,

I. 252, 16: καὶ τοίνυν οὐδὲ ποιοῦσιν οὐδέν, ὡς ἔπος εἰπεῖν, κ. τ. λ.

I. 400, 4: καὶ παιδιᾶς μὲν καὶ ἡδονῆς καὶ γέλωτος, ὡς ἔπος εἰπεῖν, οὐδέποτε ἀπορεῖτε.

I. 402, 31: οὐδὲν μέντοι γε καὶ ἀγεννὲς ἀνθρώπων οὐδέν, ὡς εἰπεῖν, ἐπισταμένων κ. τ. λ.

Καὶ ἐν II. 59, 5—94, 22—125, 28—108, 5—218,19—234, 15 — 278, 29.

Δημοσθ. 6, 1: γιγνόμενον δ' οὐδέν, ὡς ἔπος εἰπεῖν, τῶν δεόντων κ. τ. λ.

9, 47: ἐγὼ δὲ ἁπάντων, ὡς ἔπος εἰπεῖν, πολλὴν εἰληφότων ἐπίδοσιν, κ. τ. λ.

18, 4: ὃ δὲ πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνοχλεῖ, λοιπὸν ἐμοί.

19, 190: οἱ στρατηγοί, σχεδὸν ὡς εἰπεῖν αἱ ἀρχαὶ πᾶσαι.

20, 140: ἔστι δὲ πάντα μέν, ὡς ἔπος εἰπεῖν, ὀνείδη φευκτέον κ. τ. λ.

24, 212: ὅτι νόμος ἐστὶν ἁπάσαις ὡς ἔπος εἰπεῖν ταῖς πό-

λεσιν κ. τ. λ.

38, 6: καὶ πάντων τῶν πλείστων ὡς εἰπεῖν κ. τ. λ.

61, 1: ὁρῶν δ' ὡς ἔπος εἰπεῖν τὰ πλεῖστα τῶν ἐρωτικῶν συνταγμάτων κ. τ. λ.

Αἰσχ. 2, 112: τοιαῦτ' ἦν ἃ ἔλεγε παρόντων τῶν πρέσβεων ὡς ἔπος εἰπεῖν ἐξ ἁπάσης τῆς Ἑλλάδος.

Πλάτων. Ἀπολογ. 17 Α: καί τοι ἀληθές γε, ὡς ἔπος εἰπεῖν, οὐδὲν εἰρήκασι

22 Β: ὡς ἔπος γὰρ εἰπεῖν ὀλίγου αὐτῶν.

22 D: ἐμαυτῷ γὰρ ξυνήδειν οὐδὲν ἐπισταμένῳ, ὡς ἔπος εἰπεῖν, τούτους δέ γ' ᾔδειν κ. τ. λ.

Φαίδ. 66 Α: ἀπαλλαγεὶς ὅ τι μάλιστα ὀφθαλμῶν τε καὶ ὤτων καὶ ὡς ἔπος εἰπεῖν ξύμπαντος τοῦ σώματος, κ. τ. λ.

78 Ε. οὔτε αὐτὰ αὑτοῖς οὔτε ἀλλήλοις οὐδέποτε, ὡς ἔπος εἰπεῖν, οὐδαμῶς κατὰ ταὐτά ἐστιν;

110 Α: ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης, καὶ οὔτε φύεται οὐδὲν ἄξιον λόγου ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι,

Σοφιστ. 216 C: τοῦτο μέντοι κινδυνεύει τὸ γένος οὐ πολύ τι ῥᾷον, ὡς ἔπος εἶναι διακρίνειν ἢ τὸ τοῦ θεοῦ.

229 Α: Τὸ γοῦν εἰκός, ὡς εἰπεῖν, κατὰ τὴν ἀνθρωπίνην δόξαν.

Καὶ ἐν Συμπ. 179 Α. 192 C. 215 D—Ἀλκ. 122 Β. — Ἀλκ. Β! 144 D — Γοργ. 450 D. 456 Α. 466 Ε — Ιππ. Μ. 286 Ε — Ιππ. Ε. 372 Β—Τιμ. 22. Α. Νόμ. 653 D. 677 D 678 C. 736 D. 773 D. 778 Β. 795 D. 800 C. 969 Β. 978 Ε. — Επ. ζ! 335 C. 336 Β. 343 C. ιε. καὶ ἀλλαχοῦ.

ΦΕΡΕ κ. τ. λ.

Ὁ Δημοσθένης πρὸς δὲ καὶ ὁ Αἰσχίνης εἰς ἄλλο τι ἀντικείμενον μεταβαίνοντες, ἢ νέου ἐπιχειρήματος ἁπτόμενοι ἄρχονται συνήθως διὰ τῶν „φέρε, φέρε γάρ, φέρε δή, φέρε δὴ πρὸς Διός, φέρε δὴ πρὸς θεῶν", εἴτε ἑπομένου αὐθυποτάκτου, εἴτε ὑποθετικοῦ λόγου, εἴτε καὶ εὐθείας ἐρωτήσεως. Ὡσαύτως καὶ ὁ Πλάτων τῷ »φέρε κ. τ. λ." χρῆται ἀπειράκις, ὅταν περὶ νέου τινὸς ἐρωτῆσαι βούληται, πρὸ αὐθυποτάκτου ἢ ὑποθετικοῦ ἢ ἐρωτηματικοῦ λόγου. Καὶ Δίων ὁ Χρυσόστομος ἄρχεται τῶν προτάσεων πολλάκις διὰ τοῦ φέρε, φέρε γάρ, φέρε δή, φέρε δὴ πρὸς Διός, φέρε δὴ πρὸς θεῶν, φέρε οὖν, φέρε τοίνυν, οὕτω καὶ ἐπὶ τῶν αὐτῶν περιπτώσεων, ὡς οἱ ἄνω μνημονευθέντες συγγραφεῖς.

Δίων Χρυσόστ. I. 3, 9: φέρε εἴπωμεν τά τε ἤθη καὶ τὴν διάθεσιν τοῦ χρηστοῦ βασιλέως.

I. 79, 20: φέρε οὖν καθάπερ οἱ κομψοὶ τῶν δημιουργῶν ἐπὶ πάντα ἔμβραχυ φέρουσι,

I. 249, 22: φέρε, εἰ μιμούμενος τοιούτους τινὰς διαλέξομαι λόγους, κ. τ. λ,

I. 253, 6: φέρε δὴ σκεψώμεθα εἰ ἄρα τι οἱ πολλοὶ ἐπίστανται περὶ ἐλευθερίας καὶ δουλείας σαφές.

I. 262, 2: Φέρε δὴ πρὸς θεῶν, εἰ δὲ δὴ προσομολογήσαιμί σοι τούτοις εἶναι μου γονέας κ. τ. λ.

I. 263, 10: ἐπεὶ φέρε. Εὔμαιος. ὁ Κτησίου τοῦ Ὀρμένου ἀνδρὸς πάνυ ἐλευθέρου κ. τ. λ.

I. 271, 14: Φέρε γάρ, ὦ μάταιε, κἂν πάντα σοι τἄλλα χῃ κατὰ τρόπον κ. τ. λ.

I. 308, 17: ἐπεὶ φέρε, ἡγεῖσθε τὸ δαιμόνιον θεῖον καὶ ἀγαθόν κ. τ. λ.

I. 315, 6: φέρε γὰρ ἴδωμεν ὁποῖόν ἐστι τὸ πρᾶγμα

I. 369, 4: φέρε τοίνυν, εἴ τις ἔροιτο τὸν στρατηγὸν ὑμῶν κ. τ. λ.

I. 373, 24: φέρε οὖν, ἐὰν εἴπῃ τις ἐπὶ τοῖς εὐεργέταις τοῦτο γίγνεσθαι παρ' ὑμῖν, λ. τ. λ.

I. 381, 14: καίτοι φέρε, εἴ τις ὑμῖν ἔλεγεν ὡς ἄρα ἀποδόσθαι προσήκει κ. τ. λ.

I. 383, 13: φέρε τοίνυν, εἰ δὲ καὶ πάντας δέοι τιμᾶν κ.τ.λ.

I. 388, 22: φέρε τοίνυν συμβάλετε τοῦτο τὸ ἔθος ἐκείνῳ τῷ νόμῳ, κ. τ. λ.

I. 426, 13: φέρε οὖν, εἰ μεταξὺ θεῶν τις ὑμῖν ἐπιστὰς εἴποι διατεινόμενος, κ. τ. λ.

Ἔτι δὲ καὶ ἐν II. 2, 3—3, 12—13, 16—13, 29—14,14 — 24, 12 — 27, 5 — 47, 25 — 154, 8 — 181, 26 — 194,23 — 226, 31 — 238, 8 — 255, 18 — 272, 16 — 276, 5—277, 23 — καὶ 235, 19.

Δημοσθ. 8, 34: φέρε γὰρ πρὸς Διός, εὔλογον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες κ. τ. λ.

14, 27: φέρε γάρ, ἑκατοστήν τις εἰσφέρειν ἐρεῖ νῦν;

15, 26: φέρε γὰρ πρὸς θεῶν σκοπεῖτε, τί δήποτ' ἐν Βυζαντίῳ κ. τ. λ.

18, 267: φέρε δὴ καὶ τὰς τῶν λειτουργιῶν μαρτυρίας, ὧν λελειτούργηκα, ὑμῖν ἀναγνῶ.

19, 169: φέρε δὴ καὶ ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων εἴπω πρὸς ὑμᾶς.

19, 174: φέρε δή, τί τούτῳ πέπρακται παρὰ ταῦτα καὶ τί τῷ Φιλοκράτει θεάσασθε.

19, 251: φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον σκέψασθε.

20, 38: φέρε, ἐὰν δὲ δὴ πέμψας ὡς ἡμᾶς ὁ Λεύκων ἐρωτᾷ κ. τ. λ.

20, 66: φέρε γὰρ πρὸς **Διός**, τίς ἐστιν ὅστις εὖ ποιεῖν ὑμᾶς βουλήσεται;

21, 58: φέρε δὴ πρὸς θεῶν κἀκεῖνο σκέψασθε,

Ἔτι δὲ καὶ ἐν 20, 26. 63. 157 — 22, 60 — 23, 57 — 23, 106 — 24, 157 — 30, 25 — 45, 29 — 52, 20 — 59, 55. 79 — πρ. 53.

Αἰσχ. 1, 79: φέρε δὴ πρὸς τοῦ **Διός**, εἰ, ὥσπερ περὶ τοῦ γένους, οὕτω κ. τ. λ.

1, 87: φέρε δὴ πρὸς τοῦ **Διὸς** καὶ τῶν θεῶν, εἰ ἐπὶ τὴν αὐτὴν ἐτράποντο ἀπολογίαν,

Πλατ. Εὐθύδ. 7 Α: φέρε δή, ἐπισκεψώμεθα, τί λέγομεν.

Ἀπολ. 25 D: φέρε δή, πότερον ἐμὲ εἰσάγεις δεῦρο ὡς διαφθείροντα κ. τ. λ.

Κρίτ. 47 Α: φέρε δή, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο.

50 D: φέρε γάρ, τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἀπολλύναι;

Φαίδ. 79 Α· φέρε δή, ἦ δ' ὅς, ἄλλο τι ἡμῶν αὐτῶν ἢ τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή;

93 Β: φέρε δή, ἔφη, πρὸς **Διός**, λέγεται ψυχὴ ἡ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν κ. τ. λ.

Κρατύλ. 385 Β: φέρε δή μοι τόδε εἰπέ.

385 Ε: φέρε δὴ ἴδωμεν;... πότερον κ. τ. λ.

Γοργ. 502 C: φέρε δή, εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης τό τε μέλος καὶ τὸν ρυθμὸν καὶ τὸ μέτρον.

Πολ. η! 545 C: φέρε τοίνυν... πειρώμεθα λέγειν.

Κρατύλ. 387 D: φέρε δή. ὃ ἔδει τέμνειν, ἔδει τῳ; φαμὲν

τέμνειν;

424 B: φέρε δὴ ἴδωμεν, πότερον ἄρα ταῦτα μόνα ἐστὶ κ. τ. λ.

430 A: φέρε δή, ἐάν πη διαλλαχθῶμεν κ. τ. λ.

436 A: φέρε δή, ἐννοήσωμεν... εἴ τις ζητῶν κ. τ. λ.

Καὶ ἐν Θεαιτ. 151 E — Σοφιστ. 221 C. 229 A. 261 D — Πολιτ. 297 D — Φιληβ. 60 A — Ἀλκ, B. 138 B. 138 D. 139 C. 147 E. — Ἀντερ 136 C. — Χαρμ.

168 B — Λύσ. 214 E — Πρωτ. 330 B. 449 E — Γοργ. 449 C. 455 A 464 B. 475 B. 493 D. 495 D — Μενεξ. 75 B — Ιππ. Μ. 288 A — Ιππ. Ε. 366 A — Πολιτ. α! 348 C. β! 369 D. η! 562 A — Μιν. 315 E. 321 C Νομ. 629 D. 639 A. — 662 C. 704 A. 720 E. 829 E. 836 D. 887 C. 905 D. — Περὶ Δικ. 374 B. — Περὶ Ἀρετ. 376 A. 378 C. Ἐρυξ. 401 A. 402 D. καὶ ἐν πλείστοις ἄλλοις χωρίοις.

ΛΕΓΩ ΔΕ κ. τ. λ. ΛΕΓΩ ΔΗ κ. τ. λ.

Συνηθέστατα ὁ Πλάτων, ἐνίοτε δὲ καὶ ὁ Δεμοσθένης ἄρχονται τῶν προτάσεων διὰ τοῦ „λέγω" εἴτε ἐπεξηγοῦντες διὰ τῆς προτάσεως ταύτης εἰρημένον τι, εἴτε μή. ὁμοίως καὶ Δίων ὁ Χρυσόστομος ταῖς προτάσεσι ταύταις χρῆται.

Δίων Χρυσόστ. I. 86, 27: λέγω δὲ τιμαῖς τε καὶ ἐπαίνοις ὑπὸ τῶν ἀνθρώπων τῶν πολλῶν κ. τ. λ.

I. 87, 15: λέγω δὲ οὐχ ὃς ἂν ὑπὸ τοῦ βελτίστου.

I. 88. 29: λέγω δὲ διακρίνων στρατηγούς τε καὶ παιδευτὰς καὶ πολιτικοὺς ἄνδρας κ. τ. λ.

I. 225, 23: λέγω δὲ τοῦ μὲν ἑκουσίου κ, τ. λ.

I. 227, 7: λέγω δὴ γραφέων τε καὶ ἀνδριαντοποιῶν καὶ λιθοξόων κ. τ. λ.

I. 231, 32: λέγω δὲ ἡλίου καὶ σελήνης κ. τ, λ.

I. 233, 25: λέγω δὲ πρὸς τὸ δυνατὸν τῆς ἐμαυτοῦ τέχνης.

I. 239, 3: λέγω δὲ οὐ χρυσοῦ καὶ λίθου κ. τ. λ.

I. 252, 9: λέγω δὲ ἱππικὴν καὶ τοξικὴν καὶ ὁπλιτικήν.

I. 256, 5: λέγω δὲ οἷον τελωνεῖν ἢ πορνοβοσκεῖν ἢ ἄλλα ὅμοια πράττειν.

I. 278, 10: λέγω δὲ οἷον εἰ πλέον τινὶ κ. τ. λ.

I. 283, 19: λέγω δὲ τῶν περὶ Ἀντίπατρον καὶ Θεόδωρον καὶ Πλουτίωνα καὶ Κόνωνα καὶ τὴν τοιαύτην ὕλην.

Καὶ ἐν I. 285, 29. 288, 12. 290, 16. 303, 17. 311, 11. 348, 18. 356, 10. 360, 26. 376, 17. 391, 10.

II. 15, 30. 54, 14. 59, 15. 91, 29. 116, 11. 122, 24. 129, 2. 129, 14. 130, 3. 146, 13. 155, 13. 176, 21. 217, 32. 224, 6. 251, 5. 287, 10 καὶ 292, 31.

Δημοσθ. 2, 31: λέγω δὴ κεφάλαιον, πάντας εἰσφέρειν ἀφ' ὅσων ἕκαστος ἔχει τὸ ἴσον.

3, 11: λέγω δὲ τοὺς περὶ τῶν θεωρικῶν, σαφῶς ούτωσὶ κ. τ. λ.

4, 21: λέγω δὲ τοὺς πάντας στρατιώτας δισχιλίους,

19, 152; λέγω δὲ Φωκέων καὶ Πυλῶν οὐ προήσεσθαι.

Πλατ. Εὐθ. 12, Α: λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας.

Φαίδ. 94 Β: λέγω δὲ τὸ τοιόνδε, οἷον κ. τ. λ.

104 Α: λέγω δὲ τὸ αὐτὸ εἶναι οἷον καὶ ἡ τριὰς κ. τ. λ.

Πολιτ. 286 C: λέγω τοίνυν, ὅτι χρὴ δὴ κ. τ. λ.

Συμπ. 193 C: λέγω δὲ οὖν ἔγωγε καθ' ἁπάντων καὶ ἀνδρῶν καὶ γυναικῶν, κ. τ. λ.

Χαρμ. 157 D: λέγω μέντοι σοι, ὅτι Χαρμίδης κ. τ. λ.
166 E: λέγω τοίνυν .. ὅτι μόνη τῶν ἄλλων ἐπιστημῶν.
Λύσ. 217 C: λέγω γὰρ ὅτι ἔνια μέν, οἷον κ. τ. λ.
Γοργ. 476 B: λέγω δὲ τὸ τοιόνδε. εἴ τις τύπτει κ. τ. λ.
480 D: λέγω δ'ἐννοήσας, ὅτι κ. τ. λ.
506 A: λέγω μέντοι ταῦτα, εἰ δοκεῖ χρῆναι κ. τ. λ.
Μεν. 86, E: λέγω δὲ τὸ ἐξ ὑποθέσεως, κ. τ. λ.
Ιππ. Μ. 295 C: λέγω δὴ αὐτὸ εἶναι κ. τ. λ.
Μενέξ. 235 E: λέγω γάρ, καὶ Κόνων γε τὸν Μητροβίου.
Πολ. α! 343: λέγω γὰρ ὅν περ νῦν δὴ ἔλεγον, τὸν μεγάλα δυνάμενον πλεονεκτεῖν.
στ! 487 C: λέγω δ'εἰς τὸ παρὸν ἀποβλέψας.
Καὶ ἐν Τιμ. 47 B — Νομ. 637 D. 668 D. 704 A. 791 D. 810 E. — Επισ. ζ! 330 C. η! 354 A. 357 C. καὶ ἀλλαχοῦ.

ΑΞΙΩ ΥΜΑΣ κ. τ. λ. ΑΞΙΟΝ ΔΕ κ. τ. λ.

Πολλάκις ὁ Δημοσθένης ἀρχόμενος περί τινος λέγων τοῦ „ἀξιῶ„ ἢ »ἄξιον« χρῆσιν ποιῆται· τούτοις καὶ Δίων ὁ Χρυσόστομος ὁμοίως τῷ Δημοσθένει χρῆται

Δ. Χρυσ. I. 393, 15: ἀξιῶ δ' ὑμᾶς ἐκεῖνο ἐνθυμηθῆναι μᾶλλον, ὅτι πολλῶν ὄντων κατὰ τὴν πόλιν κ. τ. λ.

I. 205, 23: ἄξιον δὲ κἀκεῖνα ἐνθυμηθῆναι πρὸς τοῖς ὁμολογημένοις.

I. 277, 3: ἄξιον δ'ἐνθυμηθῆναι καὶ τὸν θεὸν ὡς κἀκεῖνος κ. τ. λ.

II. 69, 17: ἄξιόν ἐστιν ἀκοῦσαι τοῦ τὰ λυσιτελῆ λέγοντος.

II. 124, 14: ἀξιῶ δ'ὑμᾶς ἀκοῦσαί μου λέγοντος οὐκ ἐμοῦ ἕνεκα μᾶλλον ἢ ὑμῶν αὐτῶν.

II. 144, 11: τοῦτο δὲ ἄξιον ὑμῖν σπουδάσαι καὶ διὰ τὸν ἄρχοντα, ὃν πεποιήκατε κ. τ. λ.

Δημοσθ. 1, 21: Ἄξιον δ'ἐνθυμηθῆναι καὶ λογίσασθαι τὰ πράγματα κ. τ. λ.

3, 3: ἀξιῶ δὲ ὑμᾶς, ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, κ. τ. λ.

7, 39: Περὶ δὲ Χερρονήσου ἅτ' ἐπιστέλλει πρὸς ὑμᾶς ἄξιόν ἐστιν ἐξετάσαι,

17, 1: Ἄξιον ἀποδέχεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις κ. τ. λ.

19, 227: ἀξιῶ δὲ μηδὲν ἄχθεσθαί μοι λέγοντι τἀληθῆ.

45, 49: ἐγὼ γὰρ ἀξιῶ, οὓς μὲν ἀφείλοντό με ἐλέγχους περὶ τῶν ἐγκλημάτων. . . . , μὴ ζητεῖν αὐτοὺς νῦν, κ. τ. λ.

46, 28: Ἄξιον τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ τόδε ἐνθυμηθῆναι, ὅτι κ. τ. λ.

Ἔτι δὲ καὶ ἐν 54, 2. 42 — 55, 16 — 56, 50 — 57, 6 — 59, 116. — Πρ. 32. 53 καὶ ἀλλαχοῦ.

ΕΣΤΙ ΔΕΟΣ ΜΗ κ. τ. λ.

Τὴν πρότασιν „δέος μὴ κ. τ. λ.“ δὶς ἀναγιγνώσκομεν ἐν τοῖς λόγοις Δίωνος τοῦ Χρυσοστόμου, ἐν I. 402, 16: καὶ οὐ δέος μήποτε ἐπιλίπῃ, καὶ ἐν II. 152, 17: καὶ οὐκ ἔστι δέος μήποτε ἐγὼ δόξω κ. τ. λ., ἧς ἡ κατασκευὴ πάντως ἐκ τῶν τοῦ Δημοσθένους λόγων ἐλήφθη, ἐν οἷς αὕτη ἀπαντᾷ, ὡς τὰ ἑξῆς χωρία φανερὸν καθιστᾶσι

Δημοσθ. 1, 3: ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν καὶ δεινὸς ἄνθρωπος πράγμασι χρῆσθαι, κ. τ. λ.

9, 7: ἔστι γὰρ δέος μήποθ' ὡς ἀμυνούμεθα γράψας τις καὶ συμβουλεύσας εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιηκέναι τὸν πόλεμον.

19, 298: ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε.

ΔΕΙΝΟΝ ΚΑΙ ΣΧΕΤΛΙΟΝ.

Ἔτι δὲ καὶ τὴν «δεινὸν καὶ σχέτλιον» ἣ ἅπαξ ἐν τῷ Ι. 372, 21: δεινόν γε καὶ σχέτλιον, ὦ Ζεῦ, χρῆται, ἐκ τῶν τοῦ Δημοσθένους λόγων παρέλαβεν, ἐν οἷς αὕτη ἑξάκις ἀπαντᾷ.

Δημοσθέν. 9, 128: ἁπάντων γὰρ ὑμῶν τουτωνὶ καὶ τῶν ἄλλων Ἀθηναίων οὕτω δεινὰ καὶ σχέτλια ἡγουμένων τοὺς ταλαιπώρους κ. τ. λ

19, 146: καίτοι πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον κ. τ. λ.

19, 226: οὐκοῦν δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον.

21, 104: ἀλλ' ὃ καὶ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον κ. τ. λ.

35, 47: καὶ πῶς οὐκ ἂν δεινὸν εἴη καὶ σχέτλιον,

41, 9: οὐκοῦν δεινόν, ὦ ἄνδρες Δικασταί, καὶ σχέτλιον ἐμὲ μὲν ἁπάντων λ. τ. λ.

ΩΣ ΑΠΟΚΡΙΝΟΥΜΕΝΟΥ.

Παρὰ Πλάτωνι ἐν Παρμ. 137 C.: ἀναγιγνώσκομεν τὴν πρότασιν »ἀλλ' ἐρώτα ὡς ἀποκρινουμένου“ ἣν καὶ ἐν Εὐθ. αὖθις

ἀνευρίσκομεν, 295 A: ὡς ἀποκρινουμένου ἐρώτα."

Αὕτη δὲ μικρὸν παραλλαγεῖσα ἀπαντᾷ ἅπαξ καὶ παρὰ Δίωνι τῷ Χρυσοστόμῳ ἐν τῷ II.

176, 8: ἔχουσα οὕτω «λέγε ὡς ἀποκρινουμένου.»

Η Δ' ΟΣ.

Δίων ὁ Χρυσόστομος τὸν Πλάτωνα μιμούμενος, ὅστις τῇ φράσει ταύτῃ μεθ' ἡδονῆς χρῆται, πεντάκις ἐν τοῖς αὐτοῦ λόγοις χρῆσιν ταύτης ἐποιήσατο.

Δίων Χρυσ. I. 22, 20: Οὐ μέντοι, ἦ δ' ὃς ὁ 'Αλέξανδρος,

I. 26, 4: Οὐκοῦν, ἦ δ' ὅς, καὶ τοῦτο,

I. 30, 23: Νὴ Δία γε, ἦ δ' ὅς ὁ Ἀλέξανδρος,

I. 77, 14: 'Αλλ' ἐκείνων, ἦ δ' ὅς,

I. 75, 14: Ὁ τῶν μελιττῶν, ἦ δ'ὅς,

Πλατ. 'Απολ. 20 B: Πάνυ γε, ἦ δ'ὅς.

Φαίδ. 61 C: Τί δαί; ἦ δ'ὅς. οὐ φιλόσοφος Εὐηνός.

62 C: Οὐκοῦν, ἦ δ' ὅς,

63 B: Φέρε δή, ἦ δ' ὅς,

65 B: Πότε οὖν, ἦ δ' ὅς,

65 D: Οὐδαμῶς, ἦ δ' ὅς,

67 D: Παντάπασί γ', ἦ δ'ὅς,

68 B: Πολλὴ μέντοι νὴ Δία, ἦ δ' ὅς.

68 D: Εἰ γὰρ ἐθελήσεις, ἦ δ' ὅς,

70 B: Οὐκοῦν γ' ἄν, οἶμαι, ἦ δ' ὅς,

71 B: Πάνυ μὲν οὖν, ἦ δ' ὅς.

71 E: Πῶς οὖν, ἦ δ' ὅς,

73 C: Τῇδε ἔγωγε, ἦ δ' ὅς.
73 E: Τί δέ; ἦ δ' ὅς,
74 A: Σκόπει δή, ἦ δ' ὅς,
74 B: Πάνυ γε, ἦ δ' ὅς.
74 D: Τί δέ, ἦ δ' ὅς.
74 C: Οὐ ταὐτόν ἄρ' ἐστίν, ἦ δ' ὅς,
79 A: Φέρε δή, ἦ δ' ὅς,
85 E. 89 C. E 90 A. 92 E. 94 B. 100 B. 103 E. 108 E — Κρατύλ. 383 B — Συμπ. 172 B. 174 A. 176 C. 178 B. 205 C. 206 B. C, 218 C.—Θεαγ. 130 E—Χαρμ. 153 B. 158 D. Πολ. α! 327 B. β. 369 A. C. — Ἐπιστ. ζ. 348 E.

ΠΡΟΣ ΔΙΟΣ. ΠΡΟΣ ΘΕΩΝ.

ΠΡΟΣ ΔΙΟΣ ΚΑΙ ΘΕΩΝ.

Τοῖς ὁρκωτικοῖς »πρὸς Διός, πρὸς Θεῶν, πρὸς Διὸς πρὸς Θεῶν», ὧν πλήρεις μέν εἰσιν οἱ διάλογοι τοῦ Πλάτωνος καὶ οἱ λόγοι τοῦ Δημοσθένους, ἐλάττω δὲ χρῆσιν τούτων ὁ Ξενοφῶν καὶ Αἰσχίνης ποιοῦνται, συχνὰ Δίων ὁ Χρυσόστομος χρῆται.

Δίων Χρυσ. I. 278, 16: πρὸς τοῦ Διὸς οὐκ ἀνάγκη πᾶσαν λελύσθαι τὴν ἁρμονίαν;

I. 351, 9: πρὸς τοῦ Διός, ἆρα ἀγοεῖτε κ. τ. λ.
I. 359, 21: πρὸς τοῦ Διός, εἶθ' ἃ κ. τ. λ.
I. 362, 10: πρὸς τοῦ Διός, εἰθ' ὧν κ. τ. λ.
I. 399, 8: πρὸς τοῦ Διός, οὐκ ἂν ὑμῖν κ. τ. λ.
I. 433, 1: πρὸς τοῦ Διός οὐχ ὁρᾶτε κ. τ. λ.
II. 12, 10: πρὸς τοῦ Διὸς ἔστιν ὅστις κ. τ. λ.

II. 37, 6: ὑμεῖς δέ γε βούλεσθε πρὸς τοῦ Διός.
II. 141, 19: εἶτα πρὸς Διὸς καὶ θεῶν κ. τ. λ.
II. 277,23: Φέρε πρὸς Διός, ἆρα κ. τ. λ.
II. 3, 12: Φέρε δὴ πρὸς τῶν θεῶν κ. τ. λ.
II. 133, 9: ἢ τί πρὸς θεῶν κ. τ. λ.
II. 136, 3: καὶ πρὸς θεῶν μή μοι νομίζετε κ. τ. λ.
II. 137, 7: πρὸς θεῶν ὁ ταῦτα ὑπὲρ ἐμοῦ κ. τ. λ.
II. 180, 15: ἆρά σοι δοκεῖ πρὸς θεῶν κ. τ. λ.
II. 189, 1: Ἀλλ' ὦ πρὸς θεῶν ἐπίσχες κ. τ. λ.
II. 229, 16: Καί μοι τόδε εἰπὲ πρὸς θεῶν κ, τ. λ.
II. 272, 16; Φέρε δὴ πρὸς θεῶν κ. τ. λ.
II. 285, 19: Φέρε πρὸς θεῶν, κ. τ. λ.
I. 262, 2: Φέρε δὴ πρὸς θεῶν, κ. τ. λ.

Δημοσθ. 1, 15: πρὸς θεῶν τίς οὕτως εὐήθης κ. τ. λ.
8, 34: Φέρε γὰρ πρὸς Διός, εἰ λόγον κ. τ. λ.
9, 15: Ἀλλ' ἔστιν ὦ πρὸς τοῦ Διὸς κ. τ. λ.
14, 12; αὐτοὺς δ'οὐ προορᾷν ὦ πρὸς τοῦ Διός.
15, 26: Φέρε γὰρ πρὸς θεῶν σκοπεῖτε κ. τ. λ.
18, 199: καί μου πρὸς Διὸς καὶ θεῶν κ. τ. λ.
18, 201 — 20, 23. 66. 77, 157 — 23, 24. 60. 120, 142 — 24, 157 — 25, 14 — 29, 32 — 39, 10. 34 — 55, 18— 18, 19 — 20. 30 — 21, 48. 58. 166. 172 — 23, 106 — 39,38 —41, 22 — 42, 17 — 45, 81 — 50, 2 — 55, 18 — 18, 199— 19, 19. 45. 78 — 20, 43 — 21, 73 — 21, 108— 40, 53.61 — 55, 35 — 57, 50 — 57, 59 — Ἐπ. 5, 1.

Αἰσχίν. 1, 87: Φέρε δὴ πρὸς τοῦ Διὸς καὶ τῶν θεῶν.
1, 7ι: εἴπατέ μοι πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν,
1, 101; φέρε δὴ πρὸς τοῦ Διὸς κ. τ. λ.
2, 101: καὶ πρὸς τῶν θεῶν, ὦ Ἀθηναῖοι,
3, 61: ἐπινεύσατέ μοι πρὸς θεῶν κ. τ. λ.

3, 156: μὴ πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, κ. τ. λ.

Επ. 2, 5: ἀλλὰ μὴ πρὸς Διός, κ. τ. λ.

Ξενοφ. Ἀπομν. 1, 2, 41; Δίδαξον δὴ πρὸς τῶν θεῶν.

3, 6, 3: Πρὸς θεῶν, ἔφη, μὴ τοίνυν κ. τ. λ.

Οἰκ. 10, 9: Τί οὖν πρὸς θεῶν,

12, 10: Πῶς, ἔφην ἐγώ, πρὸς τῶν θεῶν;

13, 4 — Συμπόσ. 6, 4 — 8, 6. καὶ ἀλλαχοῦ.

Πλάτ. Εὐθ. 4 Ε: Σὺ δὲ πρὸς Διὸς κ. τ. λ.

5 C: νῦν οὖν πρὸς Διὸς λέγε κ. τ. λ.

13 Ε: Εἰπὲ δὴ πρὸς Διὸς κ. τ. λ.

Απολ. 25 C: Ἔτι δὲ ἡμῖν εἰπέ, ὦ πρὸς Διός,

26 Ε: ἀλλ' ὦ πρὸς Διὸς κ. τ. λ.

Φαίδ. 88 D: λέγε οὖν πρὸς Διός,

93 Β: Φέρε δή, ἔφη, πρὸς Διός,

103 Α: Πρὸς θεῶν, οὐκ ἐν τοῖς ἔμπροσθεν κ. τ. λ.

Κρατύλ. 407 D: Ἐκ μὲν οὖν τῶν θεῶν πρὸς θεῶν ἀπαλλαγῶμεν.

439 Α: Ἔχε δὴ πρὸς Διός.

Θεαίτ. 161 Α: ἀλλὰ πρὸς θεῶν εἰπέ.

209 Β: Φέρε δὴ πρὸς Διός.

Σοφιστ. 221 D: Ἀλλ' ὦ πρὸς θεῶν κ. τ. λ.

232 Ε: Σὺ δὴ πρὸς θεῶν,

248 Ε: Τί δὲ πρὸς Διός;

253 C: ἢ πρὸς Διὸς ἐλάβομεν κ. τ. λ.

Πολιτ. 279 Β: — Φιληβ. 54 Β. 60 Α — Φαίδρ. 229 C. 234 Ε — Ἀλκ. 129 Β — Ἀλκ. Β! 138 Β. 139 C. 143 D. 147 Ε — Λυσ. 209 D. 214 Ε. 220 Ε — Εὐθύφρ. 279 Β. 281 Β. 287 Α. 289 C. 290 Ε. 294 Β — Πρωτ. 312 Α. — Γοργ. 460 Α. 514 Ε — Μεν. 70 D — Ιππ. Μειζ 281 D. 285 Β. 291 D — Ιων 541 Β — Πολ. 332 C. 425 C. 574 Β. 602 C.

— Νομ. 660 B. 662 C. 891 C. 895 D — Σισυφ. 388 B. 390 C. — Μιν. 321 C — Νομ. 720 E. 905 D καὶ ἀλλαχοῦ.

Ω ΜΑΤΑΙΕ. Ω ΜΩΡΕ. Ω ΒΕΛΤΙΣΤΕ. Ω ΑΡΙΣΤΕ. Ω ΜΑΚΑΡΙΕ. Ω ΛΩΣΣΤΕ.

Αἱ προσφωνήσεις: „ὦ μάταιε“ ἥτις ἅπαξ παρὰ Δημοσθένει εὕρηται, „ὦ μῶρε“ ἅπαξ παρὰ Ξενοφῶντι καὶ ἅπαξ παρὰ Πλάτωνι, »ὦ λῷστε“ ἅπαξ παρὰ Ξενοφῶντι καὶ ἔν τισι χωρίοις τοῦ Πλάτωνος, „ὦ βέλτιστε“ ἔν τε τοῖς τοῦ Δημοσθένους λόγοις καὶ πολλαχοῦ παρὰ Πλάτωνι, «ὦ ἄριστε» καὶ «ὦ μακάριε» μόνον παρὰ Πλάτωνι ἐν πλείστοις χωρίοις, ἀπαντῶσι καὶ παρὰ Δίωνι τῷ Χρυσοστόμῳ.

Δίων Χρυσ. I. 76, 27: μὴ οὖν πρότερον, ὦ μάταιε,

I. 271, 14: Φέρε γάρ, ὦ μάταιε,

I. 119, 18: Οὐκοῦν... ἀνάσκαψον ἐλθών, ὦ μῶρε.

I. 155, 12: Νικῶμεν, Διόγενες βέλτιστε, ἀνδρῶν τὸ στάδιον.

I. 229, 18: ὦ βέλτιστε καὶ ἄριστε τῶν δημιουργῶν,

I. 262, 11: τοῦτο δὲ οὐ δυνατόν ἐστιν, ὦ βέλτιστε,

I. 297, 24: Τό γε ἀνδρεῖον, ὦ βέλτιστε.

I. 320, 27: Ἐκεῖνος, ἔφη, ὦ βέλτιστε,

I. 332, 17: οὐ πρὸς ἀλλότριον ἀναγνώσει, ὦ βέλτιστε,

II. 171, 28: εἴπερ γε, ὦ μακάριε,

I. 265, 11: Τί δέ, ὦ λῷστε, ἔφη,

II. 176, 16: Οὐ μόνον γε τῶν ἀλόγων, ὦ ἄριστε,

II. 229, 19: Φαύλῳ γὰρ ἄν, ὦ ἄριστε,

Δημοσθ. 25, 46: τί τοῦτον, ὦ μάταιε, ἀκονᾷς;
36, 52: ὦ βέλτιστε, εἰ οἷόν τε σὲ κ. τ. λ.
42, 27: ὅτι οἱ νόμοι ταῦτα κελεύουσιν, ὦ βέλτιστε,
42, 29: ὅτι, ὦ βέλτιστε, οὐδὲν ἄλλο κ. τ. λ.
56, 40: διὰ τὶ οὖν, ὦ βέλτιστε, κ. τ. λ.
Ξενοφ. Συμπ. 4, 1: Πῶς, ὦ λῷστε. ἔφη.
Ἀπομν. 1, 3, 13: Ὦ μωρέ, ἔφη ὁ Σωκράτης.
Πλατ. Νομ. 857 D: φαίη γὰρ ἄν, ὦ μῶρε,
638 A; Ὦ λῷστε, διώκομεν δέ γε ἡμεῖς
789 A: Πῶς λέγεις, ὦ λῷστε,
968 B; Ἀλλ', ὦ λῷστε, πῶς οὐ προσοίσομεν
Ευθ. 4 A: Ὁ σός, ὦ βέλτιστε,
Ἀπολ. 24 E: Ἀλλ' οὐ τοῦτο ἐρωτῶ, ὦ βέλτιστε,
Κριτ. 48 A; Οὐκ ὦ βέλτιστε,
Φαίδ. 117 A: Εἶεν, ἔφη, ὦ βέλτιστε,
Κρατυλ. 389 D; Ἆρ' οὖν, ὦ βέλτιστε,
435 B; ἐπεί, ὦ βέλτιστε, εἰ θέλεις,
Θεαίτ. 200 B; πότερον, ὦ βέλτιστοι,
Ευθ. 7. B: Ἔχθραν δὲ καὶ ὀργάς, ὦ ἄριστε,
13 E: Εἰπὲ δή, ὦ ἄριστε,
Ἀπολ. 27 B: οὐκ ἔστιν, ὦ ἄριστε ἀνδρῶν.
34 D; ὅτι ἐμοί, ὦ ἄριστε, εἰσὶ μὲν ποῦ τινες.
Φαιδ. 115 E: εὖ γὰρ ἴσθι, ἦ δ'ὅς, ὦ ἄριστε Κρίτων.
Κρατύλ. 438 C: Πότερα, ὦ ἄριστε,
Θεαίτ. 151 B: ταῦτα δή σοι, ὦ ἄριστε,
169 A: ἀλλ' ἴθι, ὦ ἄριστε,
176 B: ἀλλὰ γάρ, ὦ ἄριστε,
Σοφιστ. 232 E: καὶ πολλῶν γε, ὦ μακάριε,
236 D: Ὄντως, ὦ μακάριε, ἐσμὲν κ. τ. λ.
238 A: ἔτι γάρ, ὦ μακάριε, καὶ ἐν ἀπείροις ἄλλοις χωρίοις.

ΕΙΕΝ.

Πολλάκις ὁ Δημοσθένης μετά τι λεχθὲν χρῆται τῷ συγκαταθετικῷ μορίῳ «εἶεν» ἀσυνδέτως τοῦ λοιποῦ λόγου καὶ εἶτα μεταβαίνει εἰς τὴν ἔρευναν καὶ ἐξέτασιν ἄλλου παντελῶς διαφόρου τῶν ἡγουμένων ἀντικειμένου, δι᾽ οὗ δηλοῖ, ὅτι παραδέχεται ὡς ὂν ἢ ὀρθῶς ἔχον τὸ πρότερον λεχθέν, ὅπερ δυνατὸν ἐνίοτε αὐτῷ καὶ μὴ οὕτως ἔχειν δοκεῖν, Ἡ χρῆσις αὕτη τοῦ „εἶεν" συνηθεστάτη καὶ παρὰ Πλάτωνι, ἧς παραδείγματα οὐκ ἐλλείπουσι καὶ παρὰ Ξενοφῶντι.

Καὶ παρὰ Δίωνι τὸ „εἶεν" ἐπὶ τοιαύτης σημασίας ἐν τέσσαρσι καὶ δέκα χωρίοις ἀνέγνων, ἃ σὺν τοῖς τῶν ἄλλων παραθετέον.

Δίων Χρυσ. I. 80, 23: ἔπειτα οἶμαι φάσματα πολλὰ καὶ ποικίλα πρὸ τῶν καθαρμῶν ἐξηγούμενοι καὶ ἐπιδεικνύντες, ἅ φασιν ἐπιπέμπειν χολουμένην τὴν θεό,· ὁ μὲν δὴ φιλοχρήματος δαίμων κ. τ. λ.

I. 259, 28: Ἀλλ' ἐγώ σου, ἔφη καὶ τὴν μητέρα ἐπίσταμαι ὁμόδουλον τοῦ πατρός. Εἶεν, ἔφη· τὴν δὲ σαυτοῦ οἶσθα;

I. 265, 28: ἢ οὐκ οἶσθα ὅτι λυχνοποιὸς ἦν Κῦρος Ἀστυάγους, καὶ ὁπότε μὲν ἐδυνήθη καὶ ἔδοξεν αὐτῷ, ἐλεύθερος ἅμα καὶ βασιλεὺς ἐγένετο τῆς Ἀσίας ἁπάσης; Εἶεν· ἐμὲ δὲ πῶς φῂς δοῦλον ἂν γενέσθαι;

I. 278, 8 οἱ δὲ δι' αὐτὸ τοῦτο ἄποροι καὶ τῶν ἐλαχίστων κατέστησαν· εἶεν ἀλλ' ἐν ἡμῖν αὐτοῖς, κ. τ. λ.

I. 278, 29: ἔνιοι μὲν γὰρ τοσαῦτα παρασκευάζονται, ὡς, εἴ γ'ἔπλεον, εὐθὺς ἂν καταδῦναι τὴν ναῦν· καὶ νὴ Δία γε συμβαίνει μυρίοις. εἶεν· εἰ δέ τις ἐφ' ἑστίασιν κεκληκὼς δέκα ἀνθρώπους ἢ πεντεκαίδεκα κ. τ. λ.

I. 298: 17: οὐκοῦν δικαίως Ἀθηναῖοι νομοθέτην αὐτὸν εἵλοντο ἐπί γε τὸ μεταγράψαι τοὺς παλαιοὺς νόμους, ὃς οὐδένα αὐτῶν ἔλιπεν.—Εἶεν· οἱ δὲ Πέρσαι πῶς ἐνόμιζον.

I. 380, 2: καὶ νῦν ὑφ' ὑμῶν δοκιμασθησόμενα οἰκοδομεῖται, τότε δὲ ὑπὸ τῶν πολεμίων. Εἶεν· οὐ τοίνυν οὐδὲ τοῦτο ἔστιν εἰπεῖν ὡς πλείονας τιμᾶτε.

Καὶ ἐν II. 16, 9. 170, 22. 199, 27. 273, 5. 275, 9. 275, 30. 277, 4.

Δεμοσθ. 4, 22: καὶ μετὰ τούτων ἱππέας διακοσίους, καὶ τούτων πεντήκοντα Ἀθηναίους τοὐλάχιστον, ὥςπερ τοὺς πεζούς. τὸν αὐτὸν τρόπον στρατευομένους καὶ ἱππαγωγοὺς τούτοις· εἶεν τί πρὸς τούτοις ἔτι; ταχείας τριήρεις δέκα κ. τ. λ.

19, 6: καὶ μὴν περὶ ὧν γε προσετάξατ' εἰπεῖν ἢ πρᾶξαι καὶ διαρρήδην ἐψηφίσασθε ποιῆσαι, προσήκει διωκημέναι· εἶεν. τῶν δὲ δὴ χρόνων διὰ τί;

Καὶ ἐν 20, 23. 75 — 22, 14. 15—39, 13. 18. 30.

Ξενοφ. Ἀπομνημ. 2, 6, 8: Καὶ γὰρ ἵπποις, ἔφη, ὃν ἂν τοῖς πρόσθεν ὁρῶ καλῶς χρώμενον, τοῦτον καὶ ἄλλοις οἶμαι καλῶς χρῆσθαι. Εἶεν, ἔφη· ὃ δ' ἂν ἡμῖν ἄξιος φιλίας δοκῇ εἶναι, πῶς χρὴ φίλον τοῦτον ποιεῖσθαι;

Καὶ ἐν Συμποσ. 4, 52. 26 — 5, 6.

Πλατ. Εὐθ. 13, D: καὶ ὀρθῶς γε, ὦ Σώκρατες· οὐ γὰρ τοιαύτην λέγω;

Εἶεν ἀλλὰ τίς δὴ θεῶν θεραπεία εἴη ἂν ἡ ὁσιότης;

Ἀπολ. 18 E: καὶ γὰρ ὑμεῖς ἐκείνων πρότερον ἠκούσατε κατηγορούντων, καὶ πολὺ μᾶλλον ἢ τῶνδε τῶν ὕστερον· εἶεν· ἀπολογητέον δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, καὶ ἐν 34 B. 36 B — Κρίτ. 47 C — Φαίδ. 76 D. 95 A. 105 E. 117 A—Κρατύλ. 388 D. 404 B. 410 C. 422 D — Πολ. 257 A. 283 A. 303 C. 304 C —

Παρμ. 137 C. 160 B — Φιλήβ. 15 D. 25 B. 27 E. 59 D. —Φαίδρ. 234 D—Ἀλκ. 119 Α—Χαρμ. 176 Β—Πρωτ. 357 Α—Γοργ. 466 C. 502 D. 508 Α—Μεν 78 D. 83 C—Ἱππ. Μ. 288 Α — Πολ. 332 D. 477 Α. 580 D—Μίν. 317 Α — Νόμ. 654 Ε. 663 Ε. 691 Β. 696 D — Ἐρυξ. 395 Ε. καὶ ἀλλαχοῦ.

ΕΣΤΙΝ ΙΔΕΙΝ. ΕΣΤΙΝ ΕΙΠΕΙΝ.

Τῶν φράσεων „ἔστιν ἰδεῖν, ἔστιν εἰπεῖν, αἳ παρὰ μὲν τῷ Δημοσθένει πλειστάκις ἀπαντῶσι, παρὰ δὲ τῷ Πλάτωνι δὶς καὶ τῷ Αἰσχίνῃ ἅπαξ ἢ δευτέρα, παρὰ δὲ τῷ Ξενοφῶντι ἅπαξ ἢ πρώτῃ, οὐχ ἧττονα σχεδὸν τοῦ Δημοσθένους Δίων ὁ Χρυσόστομος χρῆσιν ἐποιήσατο.

Δίων Χρυσόστ. Ι. 198, 13: ἐξ ὧν ἁπάντων ἰδεῖν ἐστι τὴν ἀπορίαν αὐτοῦ σχεδόν.

Ι. 273, 8: καθάπερ γὰρ ἔσ.ιν ἰδεῖν κ. τ. λ.

Ι. 280, 13: πολλάκις οὖν ἔστιν ἰδεῖν ἐν ταῖς πόλεσιν.

Ι. 291, 14: ἰδεῖν δὲ ἔστι καὶ ἐν τῷ πάνυ πολλῷ θορύβῳ τε καὶ πλήθει κ. τ. λ.

Ι. 352, 19: οὐ τοίνυν οὐδὲ ἐκεῖνο ἔστιν εἰπεῖν.

Ι. 363, 21: ἐκείνους δὲ πολλῶν ἔστιν ἰδεῖν, κ. τ. λ.

Ι. 365, 22: οὐ τοίνυν οὐδὲ ἐκεῖνο ἔστιν εἰπεῖν κ. τ. λ.

Ι. 366, 23 : οὐδαμῇ γὰρ ἰδεῖν ἐστι κ. τ. λ.

Ι. 371, 20: οὐ τοίνυν οὐδὲ τοιοῦτον οὐδέν ἐστιν εἰπεῖν, ὡς κατὰ πολὺν χρόνον κ. π. λ.

Ι. 378, 4: οὐ τοίνυν οὐδὲ τοῦτο ἔστιν εἰπεῖν κ. τ. λ.

Ι. 379, 18: καὶ ὃ νῦν ἐφ' ἡμῶν ἰδεῖν ἐστι κ. τ. λ.

I. 383, 28: ὅτι καὶ παρ' ἑτέροις ἰδεῖν ἔστι κ. π. λ.

I. 390, 7: ἐπὶ δὲ τοῦ ἔθους οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ὅτι αὐτοὺς κ. τ. λ.

I. 414, 25: καθάπερ ἐμπρησμοῦ μεγάλου λήξαντος ἰδεῖν ἐστι μέχρι πολλοῦ κ. τ. λ.

I. 419, 14: οὐχ ὥσπερ ἐν τῷ πόρῳ προϊόντας, οὐκ ἔστιν ἄλλους ἰδεῖν.

I. 430, 22: εἰ καὶ ψυχρότερόν ἐστιν εἰπεῖν κ. τ. λ.

Καὶ ἐν II, 2, 26. 8, 31 33, 19. 36, 26. 143, 30.203, 2. 221, 24. 222, 10. 222, 21. 259, 28. 263, 7. 273, 13. 272,12 καὶ 301, 16.

Ξενοφ. Ἀπομνημ. 3, 12, 8: ταῦτα δὲ οὐκ ἔστιν ἰδεῖν ἀμελοῦντα.

Αἰσχ. 1, 112: ἀνάγκη δ' ἐστὶν εἰπεῖν, κ. τ. λ.

Πλατ. Φαίδ. 87 Α: εἰ μὴ ἐπαχθές ἔστιν εἰπεῖν κ. τ. λ.

Γοργ. 509 Α: εἰ καὶ ἀγροικότερόν τι εἰπεῖν ἐστι,

Δημοσθ. 6, 13: οὐκ ἔνεστιν αὐτῷ νῦν εἰπεῖν

6, 19: ἐναργῆ παραδείγματ' ἔστιν, κ. τ. λ.

8, 6: ἔστιν ἰδεῖν καὶ γεγραμμένα κεῖται,

9, 63: οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν.

17, 28: οὐ γὰρ δὴ ἔστι γε εἰπεῖν κ. τ. λ.

18, 251: καὶ τὸ τοῦ Κεφάλου εἰπεῖν ἔστι μοι κ. τ. λ.

19, 65: οὐ μόνον ἐκ τῶν δογμάτων τούτων ἔστιν ἰδεῖν,

19, 70: καὶ ταῦτα οὐκ ἔνεστιν εἰπεῖν κ. τ. λ.

19, 237: πολλὰ καὶ δίκαια ἔστιν εἰπεῖν.

19, 271: οὐκοῦν ἔστιν, ὡς ἔοικεν, ἐκ τούτων ἰδεῖν κ. τ. λ.

21, 38: ἀλλ' οὐ Μειδίᾳ τούτων οὐδὲν ἔστ' εἰπεῖν.

21, 44: χαλεποὺς ὄντας ἰδεῖν ἔστι τοὺς νόμους.

21, 71: οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν, κ. τ. λ.

Καὶ ἐν 19, 120. 20, 2. 23, 47. 65. 107. 112. 24, 58. 25, 18. 29, 14. 30, 13. 33, 24. 36, 10. 32 43. 37, 20. 39, 23. 48, 52. 59, 79. 60, 2. 20. 61, 42.

ΕΙΚΟΤΩΣ.

Πλειστάκις ὁ Δημοσθένης χρῆται τῇ λέξει «εἰκότως» δι' ἧς ἐγκρίνει τι πρότερον αὐτῷ εἰρημένον καὶ διὰ τῆς ἑπομένης προτάσεως ἐκφράζεται τὴν αἰτίαν τῆς διὰ τοῦ «εἰκότως» ἐπιδοκιμασίας.

Ἔτι δὲ καὶ ὁ Αἰσχίνης τῇ διὰ τοῦ «εἰκότως» ἐπιδομασίᾳ, ἑπομένης προτάσεως τὴν αἰτίαν τοῖς ἀκροαταῖς ἐξηγούσης, ἐν τέσσαρσι χωρίοις χρῆται· πρὸς δὲ καὶ παρὰ Πλάτωνι οὐχὶ ὀλίγα παραδείγματα ἔνεστι τῆς διὰ τοῦ «εἰκότως» ἐπιδοκιμασίας τοῦ ἑτέρου τῶν διαλεγομένων προσώπων, ὧν τοῖς μὲν ἕπεται, τοῖς δ'ἐννοεῖται ἡ αἰτιολογικὴ πρότασις. Οὕτω καὶ Δίων ὁ Χρυσόστομος δὶς τῷ «εἰκότως» χρῆται:

Δίων Χρυσόστ. I. 279, 5: ἔπειτα κατατεινόμεθα ὥσπερ στρατοπέδῳ τὰ ἐπιτήδεια συνάγοντες.

Καὶ νὴ Δία γε εἰκότως· οἱ γὰρ πολλοὶ βόσκουσι κ. τ. λ.

I. 393, 25: ὧν τὰ μὲν πλοῦτον ἐμφαίνει καὶ μεγαλοψυχίαν καὶ τὸ μέγεθος τῆς πρότερον δυνάμεως, τὰ δὲ καὶ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν οὐδενὸς ἧττον ἥδεσθε ἐπὶ τῷ πλήθει τῶν ἀνδριάντων, εἰκότως· οὐ γὰρ μόνον κόσμον φέρει κ. τ. λ.

Δημοσθ. 1, 10: καὶ ἔμοι γε δοκεῖ τις ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν θεῶν ἡμῖν ὑπηργμένων καταστάς, καίπερ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην

ἂν ἔχειν αὐτοῖς χάριν, εἰκότως· τὸ μὲν γὰρ πολλὰ ἀπολελωκέναι κ. τ. λ.

4, 25: καὶ παρακύψαντα ἐπὶ τὸν τῆς πόλεως πόλεμον, πρὸς Ἀρτάβαζον καὶ πανταχοῖ μᾶλλον οἴχεται πλέοντα, ὁ δὲ στρατηγὸς ἀκολουθεῖ, εἰκότως· οὐ γὰρ ἔστιν ἄρχειν μὴ διδόντα μισθόν.

10, 47: ἐκ δὲ τούτων παρελθὼν ἐπὶ τὴν τάξιν ἐφ' ἧς ὑμῖν τετάχθαι προσῆκεν ἕτερος, οὗτος εὐδαίμων καὶ μέγας καὶ πολλῶν κύριος γέγονεν, εἰκότως· πρᾶγμα γὰρ ἔντιμον καὶ μέγα κ. τ. λ.

17, 13: ἕτερα δὲ παμπληθῆ τοιαῦτα βιαζόμενοι παρανομεῖν· εἰκότως· τοῖς γὰρ πεπρακόσιν κ. τ. λ.

Καὶ ἐν 18, 23. 47. 288—19, 52. 215—20, 31—21,43. 63. 177 — 22, 63—23, 209—26, 5—30, 37—36, 25. 30—44, 3. 53. 67—57, 4—59, 42—61, 39—Επ. 3, 25.

Αἰσχίν. 1, 161: τὸν πράξαντα κελεύει μὴ μετέχειν τῶν τῆς πόλεως κοινῶν. εἰκότως· ὅστις γὰρ νέος ὢν ἀπέστη κ. τ. λ.

3, 10: πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων ἐπ' αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες ἐξελεγχόμενοι διεφύγγανον ἐκ τῶν δικαστηρίων, εἰκότως, ᾐσχύνοντο γὰρ οἶμαι δικασταί, κ..τ.λ.

3, 44: ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τοὺς πολλὰ συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ Δημοσθένους, ἀλλὰ πρὸς Φιλοκράτην καὶ Δημοσθένην, εἰκότως τοὺς ἅμα μὲν πρεσβεύοντας, κ. τ. λ.

3, 148: καὶ τῶν ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον, εἰκότως· οὐ γὰρ ῥήτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλὰ κ. τ. λ.

Πλατ. Φαίδ. 102 Α: Ἀληθέστατα, ἔφη, λέγεις, ὅτε Σιμμίας ἅμα καὶ ὁ Κέβης.

Νὴ Δία, ὦ Φαίδων, εἰκότως γε· θαυμαστῶς γὰρ κ. τ. λ.

Γοργ. 463 Ε: Μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ'ἐγὼ οὐδὲ αὐτὸς συνίημι ὅ τι λέγεις.

Εἰκότως γε, ὦ Γοργία· οὐδὲν γάρ πω σαφὲς λέγω, κ. τ. λ.

Πόλ. θ! 575 D: τότε οὗτοί εἰσιν οἱ τὸν τύραννον γεννῶντες μετὰ δήμου ἀνοίας ἐκεῖνον, ὃς ἂν αὐτῶν ἐν αὑτῷ μέγιστον καὶ πλεῖστον ἐν τῇ ψυχῇ τύραννον ἔχῃ. Εἰκότως γ', ἔφη, τυραννικώτατος γὰρ ἂν εἴη.

Νόμ. 666 D: Ἡμεῖς γοῦν, ὦ ξένε, καὶ οἴδε οὐκ ἄλλην ἄν τινα δυναίμεθα ᾠδὴν ἢ ἣν ἐν τοῖς χοροῖς ἐμάθομεν ξυνήθεις ᾄδειν γενόμενοι.

Εἰκότως γε· ὄντως γὰρ οὐκ ἐπήβολοι γεγόνατε τῆς καλλίστης ᾠδῆς.

Καὶ ἐν Κρατύλ 409 Ε—Θεαιτ. 194 Α.—'Αλκ. 107 C. —Μεν. 74 Β—Πολ. 412 Α καὶ Νόμ. 835. D.

ΔΙΑ ΤΙ; ΟΤΙ κ. τ. λ.

Δίων ὁ Χρυσόστομος ἐν τῷ ΙΙ 300, 31 λέγων ὅτι οὐκ ἔστιν ὅμοιον ὑπὲρ ἀναστάσεως εἰκόνος βουλεύεσθαι καὶ καθαιρέσεως ἐρωτᾷ διὰ τοῦ „διὰ τί;“ καὶ εἶτα διὰ τῆς ἑπομένης προτάσεως διὰ τοῦ »ὅτι“ ἀρχομένης λέγει τὴν αἰτίαν· οἷον.

Ἔστι δ'οὐχ ὅμοιον ὑπὲρ ἀναστάσεως εἰκόνος βουλεύεσθαι καὶ καθαιρέσεως· διὰ τί; ὅτι; ἕκαστος τούτων κ. τ. λ.

Τοιαῦτα χωρία, ἐν οἷς ὁ ῥήτωρ ἐρωτᾷ τὴν αἰτίαν τινός, ὅπερ εἴρηκε, διὰ τοῦ ἐρωτηματικοῦ „διὰ τί;“ καὶ εἶτα διὰ τῆς διὰ τοῦ „ὅτι“ ἀρχομένης προτάσεως ἀποκρίνεται τῇ ἑαυτοῦ ἐρωτήσει, ἓν μὲν ἐκ τῶν τοῦ Αἰσχίνου λόγων ἔνεστί τινι παρα-

θέσθαι, πλεῖστα δ'ἐκ τῶν τοῦ Δημοσθένους, ἃ πάντως Δίων ὁ Χρυσόστομος ἐμιμήσατο.

Αἰσχίν. 1, 28: τοῦτον οὐκ ἐᾷ λέγειν· νὴ Δία καλῶς γε· διὰ τί; ὅτι, εἴ τις, οὗς ἐξ ἴσου κ. τ. λ.

Δημοσθ. 14, 9: ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω τὸν μὲν πόλεμον τὸν πρὸς βασιλέα χαλεπὸν τῇ πόλει, τὸν δ'ἀγῶνα τὸν ἐκ τοῦ πολέμου ῥᾴδιον ἂν συμβάντα· διὰ τί; ὅτι τοὺς μὲν πολέμους ἅπαντας ἀναγκαίως κ. τ. λ.

15, 28: ἐγὼ δὲ δίκαιον εἶναι νομίζω κατάγειν τῶν Ροδίων δῆμον, οὐ μὴν ἀλλὰ καὶ εἰ μὴ δίκαιον ἦν, ὅταν ἃ ποιοῦσιν οὗτοι βλέψω, προσήκειν οἶμαι παραινέσαι κατάγειν· διὰ τί; ὅτι πάντων μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια ποιεῖν ὡρμηκότων αἰσχρὸν ἡμᾶς μόνους μὴ ἐθέλειν, κ. τ. λ.

16, 14: ἐμοὶ μὲν γὰρ δοκεῖ τοὐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι· διὰ τί; ὅτι τῶν πάντων οὐδένα ἂν ἀντειπεῖν οἶμαι κ. τ. λ.

18, 26: Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ' ὡς ἐλάχιστον· διὰ τί; ὅτι ὑμεῖς μὲν οὐκ ἀφ' ἧς ὠμόσατε ἡμέρας μόνον, κ. τ. λ.

Καὶ ἐν 18, 224 — 19, 35. 63. 103. 110. 111, 210. 271. 330—20, 5. 108. 140 — 21, 24. 32. 106. 186 — 23, 40. 54. 148. 188 — 24, 43 — 25, 27, 81 — 58, 44.

ΤΙ ΔΕ; κ. τ. λ. ΤΙ ΟΥΝ κ. τ. λ. ΤΙ ΔΗ κ. τ. λ. ΤΙ ΔΑΙ κ. τ. λ. ΤΙ ΓΑΡ κ. τ. λ.

Ταῖς ἐρωτήσεσι »τί δέ; τί οὖν; τί δή; τί δαί; τί γάρ;« ἡγουμέναις ἄλλων ἐρωτηματικῶν προτάσεων, κατὰ κόρον Δίων

ὁ Χρυσόστομος χρῆται, αἵτινες καθιστᾶσιν, ὡς εἰπεῖν, τὴν ἐν τῷ λόγῳ γέφυραν, δι' ἧς ὁ λέγων μεταβαίνει ἐκ μιᾶς ἐννοίας εἰς ἑτέραν. Παρ' Αἰσχίνῃ μὲν ἐν ἑνὶ μόνῳ χωρίῳ ἡ ἐρωτηματικὴ πρότασις »τί οὖν;« ἀπαντᾷ, παρὰ δὲ Δημοσθένει συνηθέστατος ὁ διὰ τοῦ „τί οὖν;" καὶ „τί δέ;" τρόπος τῆς μεταβάσεως τοῦ ῥήτορος ἐκ μιᾶς ἐννοίας εἰς ἑτέραν, παρὰ δὲ Ξενοφῶντι συνήθεις αἱ „τί οὖν; τί δέ; τί γάρ;" αἵτινες μετὰ τῶν »τί δή« „τί δαί" ἀπειράκις καὶ παρὰ Πλάτωνι ἀπαντῶσι.

Δίων Χρυσ. I. 27, 8: τί δέ; οὐδὲ οἴκησιν ἀξιοῖς κατεσκευάσθαι τὸν βασιλέα πρὸς ἡδονὴν κεκοσμημένην χρυσῷ καὶ ἠλέκρῳ καὶ ἐλέφαντι τοῖς πολυτίμοις;

I. 66, 29: Τί δέ: ἔφη, οὐκ οἶσθα 'Αλέξανδρον τὸν βασιλέα;

I. 67, 21: Τί οὖν, ἔφη, πότερον ἀληθὴς ἢ ψευδὴς εἶναι δοκεῖ σοι ὁ λόγος;

I. 124, 30: Τί δέ; τῳόντι κυνηγέτης ἀγαθός ἐστιν;

I. 141, 30: Τί δ'; ἐν ποταμοῖς καὶ ἐπὶ κρημνῶν οὐκ εἰκὸς ὅμοια πολλὰ γενέσθαι τοῖς πρότερον λεγομένοις ὑπὸ τῶν ποιητῶν;

I. 156, 14: Τί δέ; οὐχὶ καὶ ἐν τοῖς μύρμηξιν; εἶπεν, εἰκὸς ἄλλου ταχύτερον εἶναι;

I. 156, 19: Τί δέ; εἰ χωλοὶ πάντες ἦσαν οἱ τρέχοντες, ἐχρῆν σε μέγα φρονεῖν, ὅτι χωλοὺς οὐ χωλὸς ἔφθης;

I. 162, 13: Τί δέ; ὅστις ἀγνοεῖ χρῆσιν κυνῶν, δυνατὸς ἂν εἴη χρῆσθαι;

I. 302, 9: Τί γάρ; εἴη τις ἂν τοῦ γένους διαφορὰ πρός γε τὸ κάλλος, ἢ οὐδένα οἴει γενέσθαι ἐν τοῖς βαρβάροις καλόν;

I. 307, 20: Τί δαί; οὐ τῶν ἀνθρώπων ἕκαστον κατὰ τὸν αὐτοῦ δαίμονα βιοῦν, ὁποῖος, ἂν ᾖ ποτε, ἀλλὰ καθ'ἕτερον;

I. 162, 29: Τί δέ; οὐκ ἐπὶ τοῖς σκεύεσιν ὁ αὐτὸς λόγος;

I. 254, 31 : Τί δή; ἆρά γε συμφέρει τῷ δεσπότῃ τὸ τεθνάναι τὸν οἰκέτην ἢ νοσεῖν ἢ πονηρὸν εἶναι;

Καὶ ἐν I. 315, 26. 350, 27. 363, 14. II. 194, 27. I. 163, 1. 163, 7. 18. 32. 255, 14. 16. 256, 3. 10. 257, 15. 263, 3 14. 265, 11. 20. 301, 20. 309, 1. 310, 27. 314, 14. 315, 30 32. 347, 15. 350, 32. 363, 14. 365, 2. 372, 19. 377, 29. 380, 8. 388, 20. 411, 7. 425, 14. II. 9, 8. 10, 28· 31, 7. 38, 19. 69, 3. 76, 21. 121, 31. 131, 8. 143, 23. 154, 26. 169, 29. 179, 18. 191, 7. 194, 27. 199, 13. 224, 25. 254, 25. 257, 12. 28. 259, 32. 262, 30. 261, 27. 271, 1. 271, 18. 273, 15. 276, 16. 277, 4 καὶ ἀλλαχοῦ

Δημοσθ. 6, 7: τί οὖν; πῶς τούτοις ἐχρήσατο;

18, 147: τί οὖν; ἐπιχειρεῖ, θεάσασθε ὡς εὖ κ. τ. λ.

18, 120: τί οὖν; εἴποι τις ἄν, σὺ τοσοῦτον ὑπερῆρας τοὺς ἄλλους ῥώμῃ καὶ τόλμῃ ὥστε πάντα ποιεῖν αὐτός;

19, 221: τί οὖν; ἐφοβοῦ περὶ σεαυτοῦ καὶ διὰ δειλίαν ταύτην ἡγήσω σωτηρίαν.

19, 224: τί δέ; ἦσαν, ὅτ' ἦν Ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι;

19, 330: τί δέ; δοίητ' ἂν ἐν πρυτανείῳ σίτησιν ἢ ἄλλην τινὰ δωρεάν, αἷς τιμᾶτε τοὺς εὐεργέτας.

20, 119: τί δ'; ὅσ' ἂν δῷ τις ἅπαξ δίκαιον ἔχειν ἐᾶν;

21, 76: τί οὖν ἐμοὶ τῷ τοσαύτῃ κεχρημένῳ προνοίᾳ τοῦ μηδὲν ἀνήκεστον γενέσθαι, ὥστε μηδ' ἀμύνεσθαι, παρὰ τοῦ τὴν τιμωρίαν ὧν πέπονθα ἀποδοθῆναι προσήκει;

Καὶ ἐν 19, 229. 231. 280. 309—21, 217—25, 26. 71. 91. 39, 12. 15. 16 καὶ 18.

Αἰσχίν. 1, 111: τί οὖν; ἀπέφυγον οἱ κρινόμενοι;

Ξενοφ. Ἀπομν. 2, 1, 7: Τί οὖν; ἐπειδὴ καὶ τούτων ἑκατέρου τοῦ φίλου τὴν τάξιν οἶσθα. ἤδη ποτ' ἐσκέψω εἰς ποτέραν τῶν τάξεων τούτων σαυτὸν δικαίως ἂν τάττοις;

2, 2, 9: τί δ'; οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὐτὴ λέγει ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳδίαις ἀλλήλους τὰ ἔσχατα λέγωσιν;

2, 6, 2: Τί γάρ; ἔφη, ὅστις δαπανηρὸς ὢν μὴ αὐτάρκης ἐστίν, ἀλλ'ἀεὶ τῶν πλησίον δεῖται, καὶ λαμβάνων μὲν μὴ δύναται ἀποδιδόναι, μὴ λαμβάνων δὲ τὸν μὴ διδόντα μισεῖ, οὐ δοκεῖ σοι καὶ οὗτος χαλεπὸς φίλος εἶναι;

2, 6 3: Τί γάρ; ὅστις χρηματίζεσθαι μὲν δύναται, πολλῶν δὲ χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσξύμβουλός ἐστι, καὶ λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ μὴ βούλεται;

Καὶ ἐν 2, 2, 12. 2, 6, 3. 2, 6, 4. 2, 6, 8. 2. 6, 36. 2, 7, 5. 2, 9, 3. 2, 10, 2. 3, 3, 5. 3, 3, 6. 3, 3, 7. 3, 4, 8. 3, 5, 26. 3, 7, 8. 3, 10, 3. 3, 13, 16. 3, 14, 3. 4, 2, 12. 4, 2, 15. 4, 2, 16. 4, 2, 17. 4, 2, 33. 4, 4, 10. 4, 4, 20. 4, 4, 24. 4, 6, 8. Οἰκονομ. 7, 10. 9, 18. 12, 13.

Πλάτ. Εὐθ. Τί δέ; πετόμενόν τινα διώκεις;

Ἀπολ. 36 Β. τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτῖσαι;

Κρίτ. 49 C. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς πολλοί φασι, δίκαιον ἢ οὐ δίκαιον;

Φαίδ. 61 C: Τί δαί; οὐ φιλόσοφος Εὐηνός;

Φαίδ. 64 D: Τί δέ; τὰς τῶν ἀφροδισίων;... τί δέ; τὰς περὶ τὸ σῶμα θεραπείας δοκεῖ σοι ἐντίμους ἡγεῖσθαι ὁ τοιοῦτος;

Φαίδ. 71 A. 74 B. 80 B. — Κρατ. 392 A. 402 B. 407 C — Θεαίτ. 148 C. 154 A. 168 D. E. 203. D. 232 B. 240 C. E. 252 A. 263 D. — Πολ. 259 A. 265 A. E. 281 B. 292 A. — Παρμ. 131 D. 141 D. 159 B. 164 A. — Φιλήβ. 20 D. 40 D. E. 57 B — Συμπ. 199 E. 206 A — Φαίδ. 227 B. 276 A — Ἀλκ. 106 D. 110 E. 125 A — Ἀλκ. B' 139 A — Ἀντερ. 138 B. C — Θεάγ. 125 D. E — Χαρμ. 161 E — Λάχ. 195 E — Εὐθ. 293 A — Πρωτ. 360 C — Γοργ.

452 C. 498 D — Μεν. 95 B — Ἱππ. M. 293 A — Ἱππ. E. 375 A — Ἰων. 540 D — Μενεξ. 249 D — Πολ. 343 A. 396 A. B. 463 A. 524 D. 561 E. Μίν. 318 E — Περὶ Δικ. 374 B — περὶ Ἀρ. 379 A — Σισύφ. 388 E — Ἐρυξ. 396 E — Νόμ. 646 C. 622 A. 696 C. 769 D. 895 C. 900 E.

H.

Συχνότατα παρὰ Πλάτωνι καὶ Ξενοφῶντι τὰ διαλεγόμενα πρόσωπα ἐρωτῶντα περί τινος ἐπανορθοῦσι τὴν προτέραν αὐτῶν ἐρώτησιν ἢ λύουσι τὴν ἐν αὐτῇ ἀμφιβολίαν αὐτῶν δι᾽ἑτέρας ἀμέσως ἑπομένης ἐρωτηματικῆς προτάσεως διὰ τοῦ „ἢ" ἀρχομένης. Τοιούτων λυτικῶν προτάσεων οὐκ ὀλίγην χρῆσιν καὶ **Δίων** ὁ Χρυσόστομος ἐν τοῖς αὐτοῦ διαλόγοις ἐποιήσατο.

Δίων Χρυσ. I. 66, 22: ἤρετο αὐτὸν ὅστις εἴη καὶ τί βουλόμενος ἥκοι πρὸς αὐτόν. ἢ, ἔφη, τῶν ἐμῶν τι ληψόμενος;

I. 68, 11: ὁ γὰρ βασιλεὺς ἀνθρώπων, ἄριστός ἐστιν, ἀνδρειότατος ὢν καὶ δικαιότατος καὶ φιλανθρωπότατος καὶ ἀνίκητος ὑπὸ παντὸς πόνου καὶ πάσης ἐπιθυμίας· ἢ σὺ οἴει τὸν ἀδύνατον ἡνιοχεῖν ἡνίοχον εἶναι τοῦτον;

I. 68, 30: οἷς δὲ ἂν μεταδῷ, (ὁ Ζεὺς) πάντες οὗτοι Διὸς παῖδές εἰσί τε καὶ λέγονται· ἢ σὺ οἴει τοὺς σοφιστὰς εἶναι τοὺς διδάσκοντας βασιλεύειν;

I. 77, 12: Καὶ ὅς, Ποίων, ἔφη, γυναικῶν; ἢ δῆλον, ἔφη ὅτι τῶν Ἀμαζόνων λέγεις;

I. 124, 24: Τί οὖν οὐκ ἤδη δίδοτε; ἢ δεῖ ποθεν αὐτὸν ἐκ κώμης ἀφικέσθαι;

I. 132, 24: ἀλλὰ τοὺς τοιούτους ἅπαντας τί δράσομεν; ἢ διασπείραντες ἐν τῇ χώρᾳ κατοικιοῦμεν;

I. 156, 16: μὴ οὖν θαυμάζουσιν αὐτόν; ἢ οὐ δοκεῖ σοι γελοῖον εἶναι εἴ τις ἐθαύμαζε μύρμηκα ἐπὶ τάχει;

I. 157, 19: Ἔπειτα καταγέλαστε, ἐπιχειρεῖς θεῷ χρῆσθαι, οὐ δυνάμενος ἀνδραπόδῳ χρήσασθαι; ἢ οὐ δοκεῖ σοι τοῦτο ἐκείνου ἧττον χαλεπὸν καὶ ἐλάττονα ἔχειν κίνδυνον τοῖς οὐ δυναμένοις χρήσασθαι ὀρθῶς; τί δὲ καὶ βουλόμενος, εἶπε, ζητεῖς τὸν παῖδα; ἢ οὐκ ἦν πονηρός;

I. 162, 13: ὅστις ἀγνοεῖ χρῆσιν κυνῶν, δυνατὸς ἂν εἴη χρῆσθαι; ἢ οὐ τό τινι χρῆσθαι ὠφελεῖσθαί ἐστιν ἀπ' ἐκείνου;

Καὶ ἐν I. 162, 23. 164, 1. 28. 259, 22. 261, 32. 302, 10. 307, 12. 308, 20. II. 182, 14. 276, 2.

Πλάτ. Κρίτ. 43 A: Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων, ἢ οὐ πρῲ ἔτι ἐστίν;

Κρίτ. 43 D: Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου κ. τ. λ.

Σοφιστ. 243 D: Τίνος δὴ λέγεις; ἢ δῆλον ὅτι τὸ ὂν φῄς πρῶτον δεῖν διερευνήσασθαι, τί ποθ' οἱ λέγοντες αὐτὸ δηλοῦν ἡγοῦνται;

Φαίδ. 76 D: ἀπόλλυμεν δὲ αὐτὰς ἐν ποίῳ ἄλλῳ χρόνῳ; οὐ γὰρ δὴ ἔχοντές γε αὐτὰς γιγνόμεθα, ὡς ἄρτι ὡμολογήσαμεν. ἢ ἐν τούτῳ ἀπόλλυμεν, ἐν ᾧπερ καὶ λαμβάνομεν; ἢ ἔχεις ἄλλον τινὰ εἰπεῖν χρόνον;

Φαίδρ. 227 B: τίς οὖν δὴ ἦν ἡ διατριβή; ἢ δῆλον ὅτι τῶν λόγων ὑμᾶς Λυσίας εἱστία;

Λάχ. 197 A. Πρωτ. 309 A. Παρμ. 137 B. Γοργ. 453 A. Μεν. 71 B. Πολ. 400 C. 407 E. 491 E. 492 A. 396 B. 390 A. 526 C. 565 D. 597 B. καὶ ἀλλαχοῦ.

Ξενοφ. Ἀπομν. 1, 6, 5: πότερον ὅτι τοῖς μὲν λαμβάνουσιν ἀργύριον ἀναγκαῖόν ἐστιν ἀπεργάζεσθαι τοῦτο ἐφ' ᾧ ἂν μισθὸν λαμβάνωσιν, ἐμοὶ δὲ μὴ λαμβάνοντι οὐκ ἀνάγκη διαλέ-

γεσθαι ᾧ ἂν μὴ βούλωμαι; ἢ τὴν δίαιτάν μου φαυλίζεις ὡς ἧττον μὲν ὑγιεινὰ ἐσθίοντος ἐμοῦ ἢ σοῦ, ἧττον δὲ ἰσχὺν παρέχοντα;

2, 2, 9: Σὺ δ'εὖ εἰδὼς ὅτι ἃ λέγει σοὶ ἡ μήτηρ οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι ὅσα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις; ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι;

Καὶ ἐν 2, 1, 13. 2, 1, 15. 2, 2, 11. 2, 3, 14. 3, 3, 11. 3, 6, 16. 3, 10, 3. 3, 12, 1. 4, 4, 10. 4, 4, 23. 4, 4, 24. 4, 5, 6. 4, 6, 7. 4, 8, 3. Οἰκονομ. 2, 1. Συμποσ. 2, 18. 2, 19. Ἱερ. 1, 15. 10, 1. καὶ Ἀπολογ. 2, 7.

Πολλάκις ὁ Πλάτων, πρὸς δὲ καὶ ὁ Ξενοφῶν χρῶνται ταῖς βραχείαις προτάσεσι: „Τὸ ποῖον;" δι' ἧς ὁ ἐρωτώμενος ἢ ἀκροώμενος ἐρωτᾷ διά τι, ὅπερ οὐ σαφῶς κατενόησε. „Δοκεῖ μοι," «Ἔμοιγε δοκεῖ,» «Ἔμοι γοῦν δοκεῖ», „Πῶς γὰρ οὔ;", ἢ δὶς καὶ παρὰ Δημοσθένει ἀπαντᾷ. «Πάνυ μὲν οὖν", «Πάνυ γε», ἧς χρῆσιν ἑξάκις μὲν καὶ ὁ Δημοσθένης, ἅπαξ δὲ καὶ ὁ Αἰσχίνης ποιεῖται· «Οὐ μὲν οὖν», „Εἰκός γε" «Ἔγωγε», „Ἔμοιγε". Παρὰ Πλάτωνι δὲ μόνῳ ἀπαντῶσιν αἱ: «Παντάπασι μὲν οὖν», „Πῶς γάρ;", „Οὐ γάρ", ὧν ἡ πρώτη ἅπαξ καὶ παρὰ Δημοσθένει εὕρηται· „Πάντων μάλιστα", «Ἔοικεν», «Ἀνάγκη.» Τούτων δ'ἁπάντων, ἄλλων μὲν μείζω, ἄλλων δ'ἐλάττω καὶ Δίων ὁ Χρυσόστομος ἐν τοῖς αὐτοῦ λόγοις χρῆσιν ποιεῖται, ὡς τὰ παρατεθησόμενα χωρία φανερὸν καθιστᾶσι.

ΤΟ ΠΟΙΟΝ.

Δίων Χρυσ. II. 176, 17: ἀλλὰ τί οὐκ ἀπεκρίνω τὸ ἐξ ἀρχῆς ἐρώτημα; — Τὸ ποῖον;

II. 270, 16: ὅθεν ἐξ ἀνάγκης ὅ, τι ἐπῄει αὐτῷ πάντα μουσικά τε καὶ σοφὰ ἐφθέγγετο καὶ οὐδὲν μάταιον· ὧν δῆλον ὅτι καὶ τοῦτο τὸ ἔπος ἐστί. Τὸ ποῖον.

Ξενοφ. Οἰκον. 15, 2: ἐκεῖνο μέντοι, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, μὴ ἀπολίπῃς, ὃ ἡμῖν ἀργότατα ἐπιδεδράμηται τοῦ λόγου. Τὸ ποῖον;

Πλατ. Φαίδ. 89 C: Ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν. Τὸ ποῖον;

Κρατύλ. 406 D: Οὐκοῦν τὸ μὲν ἕτερον ὄνομα αὐτῆς οὐ χαλεπὸν εἰπεῖν δι' ὃ κεῖται.

Τὸ ποῖον;

Καὶ ἐν 411 D: Θεαιτ. 145 E. 158 B. 163 C. 187 D. 200 E. Σοφιστ. 220 F. 232 B. 235 B. Πολ. 262. A. 304 A. Παρμ. 131 E. 156 D. Φιλήβ. 31 C. 38 E. 64 B. Ἀλκ. 130 A. Πολιτ. 376 A. 432 D. 469 B, 486 A. 530 D. 571 A. Νόμ. 654 B. 687 C. 790 A. 861 A. Δημοδ. 383 B. καὶ ἀλλαχοῦ.

ΔΟΚΕΙ ΜΟΙ. ΕΜΟΙ ΔΟΚΩ. ΟΥ ΜΟΙ ΔΟΚΕΙ. ΕΜΟΙ ΓΕ ΔΟΚΕΙ. ΕΜΟΙ ΓΟΥΝ ΔΟΚΕΙ.

Δίων Χρυσόστ. I. 163, 28: Οὐκ ἄρα οὐδὲ σὺ γινώσκεις σαυτόν; Οὔ μοι δοκῶ.

I. 162, 15: ἢ οὐ τό τινι χρῆσθαι ὠφελεῖσθαί ἐστιν ἀπ' ἐκείνου; Δοκεῖ μοι.

I. 163, 23: Ὁ δὴ αὐτὸν ἀγνοῶν οὐκ ἂν ἔχοι αὐτῷ χρῆσθαι; Δοκεῖ μοι.

II. 240, 15: Ἀλλὰ ταῦτα μὲν ἄδηλα τὰ προσήκοντα τῷ φιλοσόφῳ καὶ φιλοσοφίᾳ, τὰ δὲ τῶν ἐμπόρων καὶ γεωργῶν καὶ

μουσικῶν καὶ ἀστρονόμων καὶ ὧν νῦν δὴ εἶπον ἔκδηλα καὶ φανερά. Οὔ μοι δοκεῖ.

I. 256, 20: Ἑνὶ δὴ λόγῳ τὰ μὲν φαῦλα καὶ ἄτοπα καὶ ἀσύμφορα οὐκ ἔξεστι πράττειν, τὰ δίκαια καὶ συμφέροντα καὶ ἀγαθὰ χρὴ φάναι ὅτι προσήκει τε καὶ ἔξεστιν; Ἐμοὶ γοῦν δοκεῖ.

I. 47, 11: τοῦτο ἔμοιγε δοκεῖ.

Ξενοφ. Ἀπομν. 1, 2, 44: καὶ ὅσα ἄρα τύραννος μὴ πείσας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων ἀνομία ἐστί; Δοκεῖ μοι.

3, 1, 10 Ἆρ οὖν, ἔφη, γίγνεται ἐν ἀνθρώπῳ τό τε φιλοφρόνως καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; Ἔμοι γε δοκεῖ, ἔφη.

4, 2, 22: Ἆρ οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτ' ἐστίν; Ἔμοιγε δοκεῖ, ἔφη.

4, ϛ, 4: Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδὼς ὀρθῶς ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη; Ἐμοὶ γοῦν, ἔφη, δοκεῖ.

Καὶ ἐν 4, 4, 23. 4, 6, 6. 4, 6, 7. 4, 6, 9. 4, 6, 14. Οικ. 1, 1. 1, 3. 1, 9. 1, 15.

Πλάτ. Ἀπολ. 18 A: ὥς γ' ἐμοὶ δοκῶ, τὸν μὲν τρόπον τῆς λέξεως ἐᾶν.

Κρίτ. 51 C: ἀληθῆ λέγειν τοὺς νόμους ἢ οὔ;

Ἔμοι γε δοκεῖ.

Θεαιτ. 145 A: σκεπτέον εἰ γραφικὸς ὢν λέγει ἢ οὔ;

Δοκεῖ μοι

Ἀλκ. 128 A: ἆρα ὅταν τῶν αὑτοῦ ἐπιμελῆται, τότε καὶ ἑαυτοῦ;

Ἔμοι γοῦν δοκεῖ.

Λάχ. 196 D: Κατὰ τὴν παροιμίαν ἄρα τῷ ὄντι οὐκ ἂν πᾶσα ὗς γνοίη οὐδ' ἂν ἀνδρεία γένοιτο.

Οὔ μοι δοκεῖ.

Καὶ ἐν Φαίδ. 61 C. 78 C. 94 A. Κρατύλ. 385 A. 387 B. 389 B. 421 E. 430 C. 439 D. Θεαιτ. 158 E. 159 A.

171 D. 202 D. Παρμ. 142 A. 146 C. Φιλήβ. 12 A. 62 A. Ἀλκ. 114 E. Ἀλκ. B. 139 A. Ἱππάρχ. 231 B. Λάχ. 185 B. 196 D. Λύσ. 220 B. 221 E. Εὐθ. 280 E. Πρωτ. 332 A. Γοργ. 519. E. Μεν. 78 A. 83 D. 84 C. 87 C. 89 A. 96 B. 99 A. 99 B. Ἱππ. 287 D. 298 A. Πολ. α! 332 D. 353 D. β! 379 B. 382 C. 382 D. γ! 389 E. ε! 466 B. στ. 486 B. ζ! 530 B. θ! 581 A. 583 E. Μίν. 313 E. Νόμ. 792 B. Σισύφ. 388 D. Ἐρυξ. 406 A. καὶ ἀλλαχοῦ.

ΠΩΣ ΓΑΡ ΟΥ.

Δίων Χρυσ. I. 163, 27: Εἷς ἄρα τῶν πάντων καὶ σὺ εἴης ἄν; Πῶς γὰρ οὔ;

I. 307, 18 Οὐκοῦν καὶ δαίμονα, εἴπερ τινὰ ἀγαθὸν ἡγεῖ, δῆλον ὡς δίκαιον ἡγεῖ καὶ χρήσιμον καὶ φρόνιμον;—Πῶς γὰρ οὔ;

I. 332, 11: Ἔχεις οὖν τὰ γεγραμμένα; Πῶς γὰρ οὔ;

II. 254, 25: Ἐπίστασαί τινας ἤδη βλαβέντας ὑπὸ ἐχθρῶν; Πῶς γὰρ οὔ;

Δημοσθ. 18, 299: τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω, πῶς γὰρ οὔ;

19, 67; τὸ μὲν γὰρ πόλεις μεγάλας εἰληφέναι καὶ χώραν πολλὴν ὑφ' ἑαυτῷ πεποιῆσθαι καὶ πάντα τὰ τοιαῦτα ζηλωτὰ μέν ἐστιν, οἶμαι καὶ λαμπρά· πῶς γὰρ οὔ;

Ξενοφ. Ἀπομνημ. 4, 2, 20: οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων γραμματικὸς ἂν εἴη, ὁ δὲ ἄκων ἀγράμματος; Πῶς γὰρ οὔ;

4, 2, 37: Καὶ τοὺς πένητας ἄρα οἶσθα; Πῶς γὰρ οὔ;

4, 4, 13: Οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων δίκαιος, ὁ δὲ τὰ ἄδικα ἄδικος; Πῶς γὰρ οὔ;

4, 6, 4: Οὐκοῦν ὅ γε νομίμως τιμῶν ὡς δεῖ τιμᾷ;

Πῶς γὰρ οὔ;

4, 6, 6: Οἱ ἄρα ποιοῦντες ἃ οἱ νόμοι κελεύουσι δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ; **Πῶς** γὰρ οὔ;

4, 6, 5: Οὐκοῦν οἱ κατὰ ταῦτα χρώμενοι ἀλλήλοις ὡς δεῖ χρῶνται; Πῶς γὰρ οὔ;

4, 6 14: Ἐν δέ γε πολέμῳ ὁ καθυπερτέραν τῶν ἀντιπάλων; Πῶς γὰρ οὔ;

Οἰκ. 11. 10: **Καὶ** γὰρ καλά, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, ἐστὶν ἃ σὺ λέγεις καὶ δυνατοῦ γε ἰσχυρῶς ἀνδρός; πῶς γὰρ οὔ;

Πλάτ. Εὐθ. 7 C: **Καὶ** ἐπί γε τὸ ἱστάναι ἐλθόντες, ὡς ἐγῷμαι, περὶ τοῦ βαρυτέρου τε καὶ κουφοτέρου διακριθεῖμεν ἄν;

Πῶς γὰρ οὔ;

10 C: Οὐκοῦν καὶ φιλούμενόν τί ἐστι, καὶ τούτου ἕτερον τὸ φιλοῦν;

Πῶς γὰρ οὔ;

10 D: Ἀλλὰ μὲν δὴ διότι γε φιλεῖται ὑπὸ θεῶν, θεοφιλούμενόν ἐστι καὶ θεοφιλὲς τὸ θεοφιλές;

Πῶς γὰρ οὔ;

Κρίτ. 47 C: Εἶεν ἀπειθήσας δὲ τῷ ἑνὶ καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν λόγους καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται;

Πῶς γὰρ οὔ;

Φαίδ. 97 B: οἶσθα γάρ που τὸν ἄνδρα καὶ τὸν τρόπον αὐτοῦ;

Πῶς γὰρ οὔ;

Ἔτι δὲ ἐν 73 D. 104 B 106 A. Κρατύλ. 385 D. 406 D. Θεαιτ. 145 D. 198 C. Σοφιστ. 225 C. 233 C. 244 B. 250 A. 260 C. Πολιτικ. 275 C. 281 B. 294 A. 311 B. Παρμ. 154 B. Φιλήβ. 18 E. 27 D. 33 E. 41 B. 61 D. Φαίδρ. 264

C. Ἀλκ. 106 Γ. 115 C. 125 A. 134 B. Ἀλκ. B! 146 C. Θέαγ. 124 D. Χαρμ. 170 B. Λάχ. 144 E. 190 C. Λύσ. 207 E. Εὐθυδ. 293 A. Γοργ. 449 E. 476 D. Μεν. 76 C. Ἱππ. E. 273 E. Πολ. α! 327 C. 348 C. β! 373 C. γ! 391 E. στ! 505 D. ε! 477 B. ζ! 537 B. ι! 596 E. Νόμ. α! 629 D. 640 A. δ! 715 E στ! 770 B. ζ! 811 A ιβ! 962 A. περὶ Δικαίου. 374 C. Δημοδ. 386 B. καὶ ἐν πλείστοις ἄλλοις χωρίοις.

ΠΑΝΥ ΜΕΝ ΟΥΝ.

Δίων Χρυσ. 259, 28: Εἶεν, ἔφη, τὴν δὲ σαυτοῦ οἶσθα; Πάνυ μὲν οὖν.

II. 240, 11: Πότερον οὖν γεωργίας μέν τινα ἔργα καὶ σκεύη ἢ ναυτιλίας καὶ ἄλλα τῷ κυνηγέτῃ προσήκοντα καὶ τῷ ἀστρονόμῳ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι, φιλοσοφίας δὲ οὐδέν ἐστιν οἰκεῖον ἔργον οὐδὲ πρᾶγμα οὐδὲ παρασκευή;—Πάνυ μὲν οὖν.

II. 272, 15: οὐκοῦν περὶ πάντων αὐτὸν ἐνὶ λόγῳ φαμὲν ἔμβραχυ λέγειν οὕτω τῶν ὁμοτέχνων, ὡς οὔτε φιλούντων αὐτοὺς οὔτε λυσιτελούντων ἀλλήλοις; — Πάνυ μὲν οὖν.

Ξενοφ. Ἀπομν. 1, 3, 9: οὐ σὺ Κριτόβουλον ἐνόμιζες εἶναι τῶν σωφρονικῶν ἀνθρώπων μᾶλλον ἢ τῶν θρασέων, καὶ τῶν προνοητικῶν μᾶλλον ἢ τῶν ἀνοήτων τε καὶ ῥιψοκινδύνων; Πάνυ μὲν οὖν.

2. 1 3: Οὐκοῦν, ἔφη, καὶ ὅταν πιεῖν βούλωνται, τὸ δύνασθαι διψῶντα ἀνέχεσθαι τῷ αὐτῷ προσθετέον; Πάνυ μὲν οὖν.

2, 1, 7: Οὐκοῦν δοκεῖ σοι τὸν μέλλοντα ἄρχειν ἀσκεῖν δεῖν καὶ ταῦτα εὐπετῶς φέρειν; Πάνυ μὲν οὖν.

2, 1, 10: Βούλει οὖν καὶ τοῦτο σκεψόμεθα, πότεροι ἥδιον

ζῶσιν, οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι; Πάνυ μὲν οὖν.

2, 6. 1: Οὐκοῦν τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι; Πάνυ μὲν οὖν.

Καὶ ἐν 3, 4, 9. 3, 6, 3. 3, 10, 11 4, 2, 16. 4, 3, 4.4, 4, 13. 4, 5, 8. 4, 6, 4. Οἰκ. 1, 7. 17, 8. 17, 13. Συμπ. 4, 56. 4, 58. 4, 59. Ἱέρ. 1, 21 καί 1, 22.

Πλάτ. Εὐθ. 7 A: εἰ μέντοι ἀληθῶς, τοῦτο οὔπω οἶδα, ἀλλὰ σὺ δῆλον ὅτι ἐπεκδιδάξεις ὡς ἔστιν ἀληθῆ ἃ λέγεις.

Πάνυ μὲν οὖν.

13. D: ὑπηρετική τις ἄν, . . ., εἴη θεοῖς;

Πάνυ μὲν οὖν.

Ἀπολ. 26 B: οὐ ταῦτα λέγεις ὅτι διδάσκων διαφθείρω; Πάνυ μὲν οὖν σφόδρα ταῦτα λέγω.

Κρίτ. 43 A: Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων, ἢ οὐ πρῲ ἔτι ἐστίν;

Πάνυ μὲν οὖν.

Φαίδ. 63 B: οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρή με πρὸς ταῦτα ἀπολογήσασθαι ὥσπερ ἐν δικαστηρίῳ.

Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας.

65 E: ὃς ἂν μάλιστα ἡμῶν καὶ ἀκριβέστατα παρασκευάσηται αὐτὸ ἕκαστον διανοηθῆναι περὶ οὗ σκοπεῖ, οὗτος ἂν ἐγγύτατα ἴοι τοῦ γνῶναι ἕκαστον; πάνυ μὲν οὖν.

70 D: εἰ δὲ μή ἐστι τοῦτο, ἄλλου ἄν του δέοιλόγου. Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης.

73 E· μάλιστα μέντοι, ὅταν τις τοῦτο πάθῃ περὶ ἐκεῖνα ἃ ὑπὸ χρόνου καὶ τοῦ μὴ ἐπισκοπεῖν ἤδη ἐπελέληστο; Πάνυ μὲν οὖν, ἔφη.

Καὶ ἐν 94 C. 102 A. Κρατύλ. 394 C. 404 E. 410 E. 425 C. Θεαιτ. 145 B. 159 B. 165 E. 171 A. 204 A. Σοφιστ. 220 C. 236 A. 255 C. Πολιτικ. 258 A. 267 A. 272 B. 297

E. 305 B. Παρμ. 137 E. 165 B. Φιλήβ. 11 B. 21 A. 31 A. 61 C. Συμπ. 200 A. Φαίδρ. 258 B. Ἀλκ. B. 138 A. Χαρμ. 272 A. Λάχ. 181 A. Πρωτ. 310 A. Μεν. 76 E. Πολ. ά! 341 A. δ! 430 D. η! 569 C. Μίν. 321 C. Νομ. 891 C. Σισύφ. 389 B. καὶ ἐν πλείστοις ἄλλοις χωρίοις.

ΠΑΝΥ ΓΕ.

Δίων Χρυσ. τοιοῦτον γὰρ ὁμολογεῖς εἶναι τὸν δαίμονα αὐτοῦ. — Πάνυ γε.

Ι. 177, 18: οὐκοῦν ἀχθέντες εἰς τὸ δικαστήριον τὴν ἀρχὴν ζημιοῦνται ἧς ἂν ἕκαστοι δοκῶσιν ἄξιοι ζημίας. — Πάνυ γε.

Δημοσθ. 8, 16: νὴ Δία κακοδαιμονοῦσι γὰρ ἄνθρωποι καὶ ὑπερβάλλουσιν ἀνοίᾳ· πάνυ γε.

19, 139: τούτοις χρήματ' ἐκεῖνος ἐβούλετο δοῦναι, καὶ πάνυ γε, ὡς ἔφασαν, πολλά.

19, 235: καὶ νὴ Δί' ἔγωγε καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πάνυ γε,... λαμπρῶς.

21, 89: ἀλλὰ χιλίων ἡ δίκη μόνον ἦν δραχμῶν· πάνυ γε.

39, 12: εἶτ' ἐφ' ᾧ θάνατον ζημίαν ὁ νόμος λέγει, τοῦθ' ἡμῖν ἀδεῶς ἐξέσται πράττειν; πάνυ γε.

57, 67: οἰκεῖοί τινες εἶναι μαρτυροῦσιν αὐτῷ; πάνυ γε.

Αἰσχ. 3, 20: οὐκ ἄρα φιλοτιμοῦνται; πάνυ γε.

Ξενοφ. Ἀπομν. 3, 4, 7: Ἴθι δή, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν πότερον τὰ αὐτά ἐστιν ἢ διαφέρει τι. Πάνυ γε, ἔφη.

3, 4, 11: Οὐκοῦν τὸ περιγενέσθαι τούτων ἀμφοτέροις συμφέρει; Πάνυ γε, ἔφη.

4, 3, 3: Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσα κάλλιστον ἀναπαυτήριον. Πάνυ γε, ἔφη, καὶ τοῦτο χάριτος ἄξιον.

Οἰκ. 3, 1: ἤν σοι ἀποδεικνύω πρῶτον μὲν οἰκίας τοὺς μὲν ἀπὸ πολλοῦ ἀργυρίου ἀχρήστους οἰκοδομοῦντας, τοὺς δὲ ἀπὸ πολὺ ἐλάττονος πάντα ἐχούσας ὅσα δεῖ, ἦ δόξω ἕν τί σοι τοῦτο τῶν οἰκονομικῶν ἔργων ἐπιδεικνύναι; Καὶ πάνυ γ', ἔφη ὁ Κριτόβουλος.

17, 15. Οὐκοῦν, ἔφη, εἰκότως σοι δοκοῦμεν ἐμβαλεῖν τοὺς σκαλέας; Πάνυ γε.

Πλάτ. Εὐθ. 1 B! Ἀλλὰ σὲ ἄλλος;

Πάνυ γε

13 A: Οἷον φαμέν, ἵππους οὐ πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ ἱππικός· ἦ γάρ;

Πάνυ γε.

15 C. τοῦτο δ'οὐκ ἄλλο τι ἢ θεοφιλὲς γίγνεται· ἢ οὔ;

Πάνυ γε.

Ἀπολογ. 20 B: οἶμαι γάρ σε ἐσκέφθαι διὰ τὴν τῶν υἱέων κτῆσιν· ἔστι τις, ἔφην ἐγώ, ἢ οὔ; **Πάνυ** γε.

Φαίδ. 71 **A.** **Καὶ** μὴν ἐξ ἰσχυροτέρου τὸ ἀσθενέστερον καὶ ἐκ βραδυτέρου τὸ θᾶττον; **Πάνυ** γε.

83 C: ταῦτα δὲ μάλιστα τὰ ὁρατὰ ἢ οὔ; **Πάνυ** γε.

90 A: ἢ οὐκ ᾔσθησαι ὅτι πάντων τῶν τοιούτων τὰ μὲν ἄκρα τῶν ἐσχάτων σπάνια καὶ ὀλίγα, τὰ δὲ μεταξὺ ἄφθονα καὶ πολλά; Πάνυ γε, ἦν δ' ἐγώ.

103 E: τὸ μὲν περιττὸν ἀεί που δεῖ τούτου τοῦ ὀνόματος τυγχάνειν, ὅπερ νῦν λέγομεν· ἢ οὔ; **Πάνυ** γε.

Κρατύλ. 994 D: Τοῖς μὲν δὴ κατὰ φύσιν γιγνομένοις τὰ αὐτὰ ἀποδοτέον ὀνόματα.

Πάνυ γε.

434 C: Οἶσθα οὖν ὅτι ἐπὶ τῷ αὐτῷ ἡμεῖς μέν φαμεν σκληρότης, Ἐρετριεῖς δὲ σκληρωτήρ; **Πάνυ γε.**

Καὶ ἐν Θεαιτ. 149 C. Σοφιστ. 222 E. **Πολιτικ.** 260 A. 281 C. **Παρμ.** 142 D. 154 E. **Φιλήβ.** 35 C. Συμπ. 200 E. **Φαίδρ.** 265 B. Ἀλκ. 165 C. 132 E. Ἀντερ. 137 A. Χαρμ. 165 C. **Πρωτ.** 351 E. Γοργ. 476 C. Μεν. 82 C. Ἱππ. Μ. 302 A. Ἰων. 341 B. **Πολ.** α! 351 D. γ! 417 B. η! 551 A. θ! 581 C. Μίν. 314 C. Νόμ. 633 D. 667 B. 789 A. περὶ Δικ. 373 A. Σισύφ. 388 E. 390 D. Ἐρυξ. 400 E. καὶ ἀλλαχοῦ.

ΠΑΝΤΑΠΑΣΙ ΜΕΝ ΟΥΝ.

Δίων Χρυσ. II 230, 5. Οὐκοῦν οὐδὲ τῶν ἄλλων οὐδὲν εἴσεται πραγμάτων αὐτὸν ἀγνοῶν, οὐδὲ δυνήσεται πρὸς ἀλήθειαν ἐξετάζειν αὐτοῦ πρώτου ἐσφαλμένος; — **Παντάπασι μέν οὖν.**

Πλάτ. Θεατ. 160 B. ἐκεῖνό τε τινὶ γίγνεσθαι, ὅταν γλυκὺ ἢ πικρὸν ἤ τι τοιοῦτον γίγνηται· γλυκὺ γάρ, μηδενὶ δὲ γλυκὺ ἀδύνατον γίγνεσθαι. **Παντάπασι μὲν οὖν**

186 C: τὰ δὲ περὶ τούτων ἀναλογίσματα πρός τε οὐσίαν καὶ ὠφέλειαν μόγις καὶ ἐν χρόνῳ διὰ πολλῶν πραγμάτων καὶ παιδείας παραγίγνεται οἷς ἂν καὶ παραγίγνηται.

Παντάπασι μὲν οὖν.

Σοφιστ. 231 E: Τό γε μὴν ἕκτον ἀμφισβητήσιμον μέν, ὅμως δ'ἔθεμεν αὐτῷ συγχωρήσαντες δοξῶν ἐμποδίων μαθήμασι περὶ ψυχὴν καθαρτὴν αὐτὸν εἶναι

Παντάπασι μὲν οὖν.

253 E. τοῦτο δ'ἔστιν, ᾗ τε κοινωνεῖν ἕκαστα δύναται καὶ ὅπη μή, διακρίνειν κατὰ γένος ἐπίστασθαι.

Πανταπάσι μὲν οὖν.

Καὶ ἐν Πολιτικ. 295 Ε. Παρμ. 140 D. 162 Α. Φιλήβ. 26 Α. Φαίδρ. 276 Β. Ἀλκ. 128 D. Λάχ. 194 Β. Πολ. α! 322 Β. β! 370 C. γ! 409 D. στ. 500 D. Περὶ Δικ. 375 D. Νόμ. 668 Α. 684 C. 721 Α. 724 Α 801 Α. 859 C. 861 D. 962 D. Γοργ. 459 Α. καὶ ἀλλαχοῦ.

ΟΥ ΓΑΡ ΟΥΝ.

Δίων Χρυσ. Ι. 256, 17: Οὔκουν οὐδὲ ταῦτα ἔξεστι πράττειν; Οὐ γὰρ οὖν.

Ι. 256, 23: Οὐκοῦν οὐδενὶ τά τε φαῦλα ποιεῖν ἀζήμιόν ἐστιν οὔτε Ἕλληνι οὔτε βαρβάρῳ οὔτε ὑπὲρ ὅτου τις τιμὴν δέδωκεν ἀργύριον; **Οὐ** γὰρ οὖν.

Ξενοφ. Ἀπομν. 3, 14, 3: ἀλλ'οὐκ οἶμαί πω ἐπί γε τούτῳ ὀψοφάγοι καλοῦνται. Οὐ γὰρ οὖν,

4, 4, 23: Οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι;

Οὐ γὰρ οὖν, ἔφη.

4, 6, 3: Ἆρ' οὖν ὁ εἰδὼς τοὺς θεοὺς τιμᾶν οὐκ ἄλλως οἴεται δεῖν τοῦτο ποιεῖν ἢ ὡς οἶδεν;

Οὐ γὰρ οὖν, ἔφη.

Πλάτ. Θεαιτ. 160 Α. Οὐδὲ μὴν ἔγωγε ἐμαυτῷ τοιοῦτος, ἐκεῖνό τε ἑαυτῷ τοιοῦτον γενήσεται.

Οὐ γὰρ οὖν.

182 Ε: Οὔτε ἄρα ὁρᾶν προσρητέον τι μᾶλλον ἢ μὴ ὁρᾶν, οὐδέ τιν' ἄλλην αἴσθησιν μᾶλλον ἢ μή, πάντων γε πάντως κινουμένων.

Οὐ γὰρ οὖν.

203 E: Σκεπτέον, καὶ οὐ προδοτέον οὕτως ἀνάνδρως μέγαν τε καὶ σεμνὸν λόγον.

Σοφιστ. 240 B: Οὔκουν ἀληθῶς, φῄς.

Οὐ γὰρ οὖν.

Καὶ ἐν 256 A. Παρμ. 138 B. 147 A. 156 C. 162 D. Φιλήβ. 30 C. Φαίδρ. 277 E. Χαρμ, 167 E. Λύσ. 215 B. 218 A. Περὶ Δικ. 375 B. Σισύφ. 390 E. 391 D. Νόμ. 634 D. 696 C. Πολ. β! 376 B. δ! 439 B. ι! 603 A. καὶ ἀλλαχοῦ.

ΠΩΣ ΓΑΡ; ΟΥ ΓΑΡ.

Δίων Χρυσ. I. 265, 13: Τί δέ, ὦ λῷστε, ἔφη, οὐδεὶς ἂν γένοιτο ἐλεύθερος μὴ ὑπὸ τοῦ δεσπότου ἀφεθείς; Πῶς γάρ; εἶπεν.

I 162, 17: Οὐδεὶς ἄρα τῶν βλαπτομένων ἀπό τινος χρῆται ἐκείνῳ ὑφ' οὗ βλάπτεται; Οὐ γάρ.

II. 271, 24: ἀγαπήσουσι γὰρ ὠνούμεναι κἂν ὀλίγῳ βελτίω ἢ ὁποῖα εἰώθασιν αὐταὶ βάπτειν ἐν τοῖς ἀγροῖς ὡς ἔτυχε, καὶ οὐ ζητοῦσιν δευσοποιὰ καὶ ἁλουργῆ. — Πῶς γὰρ ζητοῦσι;

II. 273, 3: Οὐκ ἂν ἴσως τότε μισοῖ· πῶς γάρ;

Δημοσθ. 24, 35: οὐτ' ἀμφοτέροις ἐνὶ δήπου ψηφίσασθαι· πῶς γάρ;

Πλάτ. Πολ. β! 379 B: Ὁ δέ γε μηδὲν κακὸν ποιεῖ, οὐδ' ἄν τινος εἴη κακοῦ αἴτιον; Πῶς γάρ;

στ! 490 C. Ἡγουμένης δὴ ἀληθείας οὐκ ἄν ποτε, οἶμαι, φαῖμεν αὐτῇ χορὸν κακῶν ἀκολουθῆσαι. Πῶς γάρ.

στ! 509: Τὸν ἥλιον τοῖς ὁρωμένοις οὐ μόνον, οἶμαι, τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχειν φήσεις, ἀλλὰ καὶ τὴν γένεσιν καὶ

αὔξην καὶ τροφήν, οὐ γένεσιν αὐτὸν ὄντα. Πῶς γάρ;

δ! 229 B: οὐ γάρ, οἶμαι. εἶπον, οἵ γε ἄλλοι ἐν αὐτῇ ἢ δειλοὶ ἢ ἀνδρεῖοι ὄντες κύριοι ἂν εἶεν ἢ τοίαν· αὐτὴν εἶναι ἢ τοίαν· Οὐ γάρ.

ε! 471 A: Οὐκοῦν τὴν πρὸς τοὺς Ἕλληνας διαφορὰν ὡς οἰκείους στάσιν ἡγήσονται καὶ οὐδὲ ὀνομάσουσι πόλεμον; Οὐ γάρ.

Καὶ ἐν ε! 453 D. 478 C. στ! 495 A. ζ! 522 A. Νόμ. 640 C. Μίν. 314 E. Σισύφ. 388 D. 390 D. E. Ἐρυξ. 393 D. 402 B. 404 B. 404 E. καὶ ἀλλαχοῦ.

ΕΙΚΟΣ ΓΕ.

Δίων Χρυσ. I. 162, 18: Οὔκουν καὶ ὁ κυσὶ πειρώμενος χρῆσθαι ἄνευ τοῦ ἐπίστασθαι ζημιώσεται ἀπ' αὐτῶν; Εἰκός γε

Ξενοφ. Ἀπομν. 3, 3, 15: εἰ νομίσειαν ταῦτα ποιοῦντες ἐπαίνου καὶ τιμῆς τεύξεσθαι; Εἰκός γε, ἔφη.

4, 6, 5: Οὐκοῦν οἵ γε τοῖς ἀνθρώποις καλῶς χρώμε οι καλῶς πράττουσι τἀνθρώπεια πράγματα; Εἰκός γ', ἔφη.

4, 6, 11: Οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν;

Εἰκός γ, ἔφη.

Πλτ. Φαίδ. 90 B: Οὐκοῦν οἴει, ἔφη, εἰ πονηρίας ἀγὼν προτεθείη, πάνυ ἂν ὀλίγους καὶ ἐνταῦθα τοὺς πρώτους φανῆναι; Εἰκός γε, ἦν δ' ἐγώ.

Κρατύλ. 397 C: Ἆρ' οὖν οὐ δίκαιον ἀπὸ τῶν θεῶν ἄρχεσθαι σκοπουμένους, πῇ ποτε αὐτὸ τοῦτο τὸ ὄνομα οἱ θεοὶ ὀρθῶς ἐκλήθησαν;

Εἰκός γε.

Θεαιτ. 203 C: τὸ μὴ γνωστὸν εἶναι τὸ στοιχεῖον ἀλλὰ

τὴν συλλαβήν; ἆρ' ὀρθῶς ἀποδεδείγμεθα;

Εἰκός γε.

Φιλήβ. 45 B: τάχα γὰρ ἴσως φαῖμεν ἂν περὶ ὑγιαίνοντας.

Εἰκός γε.

59 C: Τὰ δὲ δὴ τῶν ὀνομάτων περὶ τὰ τοιαῦτα κάλλιστα ἆρ' οὐ τοῖς καλλίστοις δικαιότατον ἀπονέμειν;

Εἰκός γε.

Καὶ ἐν Ἀλκ. 114 C. 131 D. Πρωτ. 312 E. Γοργ. 477 A. Ἱππ. M. 284 A. Περὶ Ἀρετ. 379 A. Ἐρυξ. 400 E. Πολ. 348 C. 407 C. 424 B. 485 C 517 D. 531 C. 533 B. 567 A. 592 B. 603 B. 610 E. Νόμ. 625 B. 656 A. 677 B. 687 B. 691 A. 840 C. 964 D. καὶ ἀλλαχοῦ.

ΕΓΩΓΕ.

Δίων Χρυσ. I. 162, 24: ἢ οὐκ οἶσθα τοὺς μέν τινας ὠφελημένους, τοὺς δὲ καὶ βεβλαμμένους ἀπό τε προβατείας καὶ ὀνηλασίας; Ἔγωγε.

I. 163, 23: Ἤδη οὖν ἀκήκοας τὸ ἐν Δελφοῖς γράμμα τὸ Γνῶθι σαυτόν; Ἔγωγε.

I. 257, 15: Τί δέ; ἐν Θράκῃ γέγονας: Ἔγωγε.

II. 170, 8: ἢ οὐδὲ ζηλωτὴν οὐδένα οὐδενὸς φήσεις τῶν μὴ συγγενομένων; Ἔγωγε.

Ξενοφ. Ἀπομν. 1, 4, 3: ἔστιν οὕστινας ἀνθρώπους τεθαύμακας ἐπὶ σοφίᾳ; Ἔγωγε, ἔφη.

3, 3, 5: τοὺς ἱππέας οὐκ ἐπιχειρήσεις... βελτίονας ποιῆσαι; Ἔγωγ', ἔφη.

4, 2, 24: Κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον

τὸ Γνῶθι σαυτόν; Ἔγωγε.

Πλάτ. Χαρμ. 162 E: Καί μοι λέγε, ἢ καὶ ἃ νῦν δὴ ἠρώτων ἐγὼ ξυγχωρεῖς, τοὺς δημιουργοὺς πάντας ποιεῖν τι; Ἔγωγε.

Λαχ. 194 E: Οὐκοῦν τόν δε τοῦτο ἐρωτᾷς; Εγωγε.

Λύσ. 206 A: Καὶ ἅμα οἱ καλοί, ἐπειδάν τις αὐτοὺς ἐπαινῇ καὶ αὔξῃ, φρονήματος ἐμπίμπλανται καὶ μεγαλαυχίας· ἢ οὐκ οἴει. Ἔγωγε, ἔφη.

Εὐθ. 293 C: Οὐκοῦν σύ, ἔφης, ἐπίστασαί τι;

Ἔγωγε.

Γοογ. 454 C: τί δέ; πεπιστευκέναι;

Ἔγωγε.

495 B: Σὺ δὲ τῷ ὄντι.. ταῦτα ἰσχυρίζει;

Ἔγωγε.

Καὶ ἐν Μεν. 79 C. Ἱππ. Μ. 302 A. Περὶ Δικ. 374 A. 374 C. Δημ. 385 E. Σισύφ. 389 A. Πολ. α! 339 B. δ! 431 D. ε! 450 D. η! 565 Γ. θ! 584 D. Μίν. 314 C. καὶ ἀλλαχοῦ.

ΠΑΝΤΩΝ ΜΑΛΙΣΤΑ.

Δίων Χρυσ. 159, 24: τί δὲ καὶ βουλόμενος, εἶπε. ζητεῖς τὸν παῖδα; ἢ οὐκ ἦν πονηρός; Πάντων γε.... μάλιστα.

Πλάτων Χαρμ. 156 C: Οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι καὶ ἀποδέχει τὸν λόγον; Πάντων μάλιστα, ἔφη.

Λύσ. 295 E: Τὸ δὲ πῶς ἔχει; ἔφη. Πάντων μάλιστα, εἶπον, εἰς σὲ τείνουσιν.

Ἱππ. E: 265 C: Ἦ καί σοι δοκεῖ αὐτῷ, ὦ Ἱππία; Πάντων μάλιστα.

Πολ. β! 358 B: ἀλλ' ὅρα, εἴ σοι βουλομένῳ ἃ λέγω.

Πάντων μάλιστα, ἦν δ' ἐγώ.

γ! 403 Α: Τί δέ; ὕβρει τε καὶ ἀκολασίᾳ; Πάντων μάλιστα.

ε! 468 Ε: τῶν δὲ δὴ ἀποθανόντων ἐπὶ στρατείας ὃς ἂν εὐδοκιμήσας τελευτήσῃ, ἆρ' οὐ πρῶτον μὲν φήσομεν τοῦ χρυσοῦ γένους εἶναι;

Πάντων μάλιστα.

ζ! 522 Ε: Ἄλλο τι οὖν, ἦν δ' ἐγώ, μάθημα ἀναγκαῖον πολεμικῷ ἀνδρὶ θήσομεν καὶ λογίζεσθαί τι καὶ ἀριθμεῖν δύνασθαι; Πάντων γ', ἔφη, μάλιστα.

ΕΟΙΚΕ.

Δίων Χρυσ. Ι. 162, 29: τοὺς δὲ εἰδότας ὀνίσασασθαι καὶ ἀπὸ συῶν καὶ ἀπὸ χηνῶν καὶ ἀπὸ ἄλλου ζῴου παντός; Ἔοικε.

Ι. 163, 26: Οὐκοῦν δῆλον ὅτι ὁ θεὸς κελεύει πᾶσιν ὡς οὐκ εἰδόσιν αὐτούς; Ἔοικεν.

Πλάτ. Χαρμ. 170 C: Οὐκ ἄρα εἴσεται ὃ οἶδεν ὁ τοῦτο ἀγνοῶν, ἀλλ' ὅτι οἶδε μόνον. Ἔοικεν.

Λάχ. 192 Β: Ἡ φρόνιμος ἄρα καρτερία κατὰ τὸν σὸν λόγον ἀνδρεία ἂν εἴη.

Ἔοικεν.

199 C: οὐ γὰρ μελλόντων μόνον περὶ τῶν ἀγαθῶν τε καὶ κακῶν ἐπαΐει, ἀλλὰ καὶ γιγνομένων καὶ γεγονότων καὶ πάντως ἐχόντων, ὥσπερ αἱ ἄλλαι ἐπιστῆμαι.

Ἔοικέ γε.

Λύσ. 213 Α: Οὐκ ἄρα ὁ φιλῶν φίλος ἐκ τούτου τοῦ λόγου, ἀλλ' ὁ φιλούμενος. Ἔοικεν.

Καὶ ἐν Γοργ. 477 A. Μεν. 85 D. Ἱππ. E. 368 A. Ἰων. 532 B. Περὶ Δικ. 375 C. Ἐρυξ. 403 A. Πολ. β! 381 B. ε! 456 C. Νόμ. 649 D. καὶ ἀλλαχοῦ.

ΑΝΑΓΚΗ.

Δίων Χρυσ. I. 307, 20: Ἢ γὰρ ὃν κακόν τινα νομίζεις, πονηρὸν οἴει τὸν αὐτὸν εἶναι καὶ ἄδικον καὶ ἀνόητον; — Ἀνάγκη.

II. 191, 9; ἆρά γε ἀνάγκη τὸν βουλόμενον ὀρθῶς ἐξηγεῖσθαι παρὰ τὴν δόξαν τῶν πολλῶν λέγειν; — Ἀνάγκη.

Πλάτ. Χαρμ. 168 B: Οὐκοῦν ἐλάττονός τινος, εἴπερ ἔσται μεῖζον. Ἀνάγκη.

Λύσ. 210 A: Ἆρ οὖν καὶ τἄλλα πάντα ἡμῖν ἐπιτρέποι ἂν μᾶλλον ἢ ἑαυτῷ καὶ τῷ υἱεῖ περὶ ὅσων ἂν δόξωμεν αὐτῷ σοφώτεροι ἐκείνων εἶναι;

Ἀνάγκη, ὦ Σώκρατες.

Εὐθ. 292 A: Οὐκοῦν ἀγαθόν γέ τι δεῖ ἡμῖν αὐτὴν παραδιδόναι;

Ἀνάγκη, ὦ Σώκρατες.

Καὶ ἐν Γοργ. 475 A. 477 A. Πολ. α! 333 D. β! 370 C. 380 E. δ! 427 E. στ. 496 A. 577 D. 579 A. 587 B. Δημοδ. 386 C. Νόμ. 892 B. 896 D. 900 E.

ΕΜΟΙΓΕ.

Δίων Χρυσ. Ι. 162. 11: ἢ ὅστις οὐκ ἔστιν ἔμπειρος ἵππων χρήσεως, δοκεῖ σοι οὗτος χρῆσθαι ἂν ἵπποις;

Οὐκ ἔμοιγε.

Ι. 305, 26: οὐ δοκεῖ σοι τὴν ὀϊζὺν ἄντικρυς κακοδαιμονίαν τινὰ λέγειν; — Ἔμοιγε,

Ξενοφ. Ἀπομν. 2, 2, 1: Οὐκοῦν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους;

Ἔμοιγε, ἔφη.

4, 2, 20: Δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι ὥσπερ τῶν γραμμάτων; Ἔμοιγε.

4, 6, 8: Δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶναι;

Οὐκ ἔμοιγε.

Πλάτ. Περὶ Δικ. Ἔχεις ἡμῖν εἰπεῖν, ὅ τί ἐστι τὸ δίκαιον; ἢ οὐκ ἄξιόν σοι δοκεῖ εἶναι λόγον περὶ αὐτοῦ ποιεῖσθαι; Ἔμοιγε καὶ μάλα.

Δημοδ. 384 Ε· Ἀλλ' οὖν οὐχ οἱ ὡς οὐ προσήκει ὁμιλοῦντες, ἔφη, κακῶς χρῆσθαί σοι δοκοῦσιν. Ἔμοιγε.

Ἐρυξ. 397 Β: δοκοῦσί τινές σοι ἀκρατεῖς εἶναι ἄνθρωποι; Ἔμοιγε.

Πολ. α! 352 Ε: δοκεῖ τί σοι εἶναι ἵππου ἔργον;

Ἔμοιγε.

ε! 468 Β: Τὸν δὲ ἀριστεύσαντά τε καὶ εὐδοκιμήσαντα οὐ πρῶτον μὲν ἐπὶ στρατείας ὑπὸ τῶν συστρατευομένων μειρακίων τε καὶ παίδων ἐν μέρει ὑπὸ ἑκάστου δοκεῖ σοι χρῆναι στεφανωθῆναι; ἢ οὔ; Ἔμοιγε.

ζ! 535 Α: Ἆρ' οὖν δοκεῖ σοι... ὥσπερ θριγκὸς τοῖς μα-

θήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι, καὶ οὐκέτ' ἄλλο τούτου μάθημα ἀνωτέρω ὀρθῶς ἂν ἐπιτίθεσθαι, ἀλλ' ἔχειν ἤδη τέλος τὰ τῶν μαθημάτων; Ἔμοιγ', ἔφη.

ι! 608 D: Εἰ μὴ ἀδικῶ γ', ἔφην· οἶμαι δὲ καὶ σύ· οὐδὲν γὰρ χαλεπόν. Ἔμοιγ', ἔφη.

Παρὰ Πλάτωνι ἐν Γοργίᾳ 490 B. ἀναγινώσκομεν· „πολλὰ σιτία καὶ ποτά" ἐν Νόμ. β! 695 E: „ἐν ἡδέσι τισὶ σιτίοις καὶ πόμασι" ἐν Πρωτ. 334 A: „σιτία καὶ ποτά« ἐν Πολιτ. θ! 571 C: „ἢ σίτων ἢ μέθης προσθὲν" ἐν Νόμ. ζ! 789 D: „τὰς τῶν σίτων τροφὰς καὶ ποτῶν" ἐν Πρωτ. 353 C: «οἷον πολλάκις ὑπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδισίων» καὶ παρὰ Ξενοφ. ἐν Ἀπομν. 1, 2, 2: «λίχνους ἢ ἀφροδισίων ἀκρατεῖς» 1, 5, 1: «ἥττω γαστρὸς ἢ οἴνου ἢ ἀφροδισίων» 4, 5, 9: οὔτε λιμὸν οὔτε δίψαν οὔτε ἀφροδισίων ἐπιθυμίαν οὔτε ἀγρυπνίαν, δι' ὧν μόνων ἔστιν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν καὶ ἀφροδισιάσαι», Τοιούτων προτάσεων καὶ Δίων ὁ Χρυσόστ. χρῆσιν ποιεῖται, ἐν I. 148, 16: „ἔτι δὲ σιτίοις καὶ ποτοῖς καὶ ἀφροδισίοις", ἐν 251, 2: «ὄψου δὴ καὶ μύρου καὶ ἀφροδισίων» ἐν 319, 8: «ἀλλὰ σιτίοις τε καὶ οἴνῳ καὶ ἀφροδισίοις» ἐν II 232, 16: »πάλιν ἥδεσθαι μὲν ἀφροδισίοις καὶ σιτίοις καὶ ποτοῖς» ἐν 279, 22: „σίτων ἢ ποτῶν ἢ ἀφροδισίων".

Παρὰ Ξενοφῶντι εὕρηται συχνὰ τὸ λέγειν μετὰ τοῦ πράττειν ἢ ποιεῖν συνδεδεμένον· οἷον ἐν Ἀπομν· 1, 3, 1: «φανερὸς ἦν καὶ ποιεῖν καὶ λέγειν» 2, 6, 14: αὐτοὺς ἡμᾶς ἀγαθοὺς δεῖ γενέσθαι λέγειν τε καὶ πράττειν»· 2, 9, 4: „πάνυ μὲν ἱκανὸν εἰπεῖν τε καὶ πρᾶξαι". Οἰκ. 12, 16: „λέγειν τε πειρῶμαι καὶ ποιεῖν"· Κύρ. Παιδ. 2, 3, 1: τοιαῦτα καὶ ἐλέγετο καὶ ἐπράττετο ἐν τῇ σκηνῇ"· Ἔτι δὲ καὶ παρὰ Δημοσθένει· οἷον ἐν 7, 29: «ὅπως ἂν φαίνηται καὶ λέγων καὶ πράττων»· 9, 16: „προσετάξατ' εἰπεῖν ἢ πρᾶξαι"· 21, 114: καὶ πᾶν ἂν ὑποστὰς εἰπεῖν καὶ πρᾶξαι„

21. 190: «ἔγνων καὶ λέγειν καὶ πράττειν». 49, 9: «τῷ τε πράττειν καὶ εἰπεῖν δυνάμενοι». Ἐπιστ. 3, 4: «καὶ μετὰ ταῦτα ἀόκνως καὶ λέγων καὶ πράττων». Καὶ Δίων ὁ Χρυσόστομος ταῖς ἐννοίας ταύταις τετράκις συνδεδεμένως χρῆται· οἷον ἐν Ι 285, 10: «ἀλλ' αὐτὸς πράξας ἅμα καὶ εἰπών». ΙΙ. 88, 8: «οὔτε τοῦ λέγειν οὔτε τοῦ πράττειν» 102, 5: „οὔτε εἰπόντα οὔτε πράξαντα“ 193, 13: «τὸ ἔχειν ἄνδρας ἱκανοὺς καὶ πρᾶξαι καὶ εἰπεῖν».

Πρὸς δὲ Δίων ὁ Χρυσόστομος δὶς χρῆται τῷ ρήματι «παρακρούομαι» ὅπερ ἔν τε τοῖς διαλόγοις τοῦ Πλάτωνος ἀπαντᾷ καὶ συχνότατα παρὰ Δημοσθένει. καὶ δὴ ἐν ἑνὶ χωρίῳ τούτοιν μετὰ τοῦ «φενακίζω» συνδεδεμένῳ, ὥσπερ καὶ ὁ Δημοσθένης. οἷον,

Δίων Χρυσ. Ι. 357, 23: παρακρουόμενος καὶ φενακίζων

ΙΙ. 147, 32: ἢ παρακρουσθεὶς ὑπὸ ἐπιθυμίας,

Πλτ. Κρατ. 393 C: φύλαττε γάρ με, μή πη παρακρούσωμαί σε.

Λύσ. 215 C: Ἄθρει δή, ὦ Λύσι, πῇ παρακρουόμεθα.

Θεαιτ. 168 Α: καὶ τῶν προτέρων συνουσιῶν παρεκέκρουστο.

Κρίτ. 47 Α: οὐκ ἂν σε παρακρούσῃ ἡ παροῦσα συμφορά.

Δημοσθέν. 2, 5: οἷς πρότερον παρακρουόμενος

18, 147: ρᾷον ἤλπιζε τὰ μὲν παρακρούσεσθαι,

18, 276: ὅπως μὴ παρακρούσομαι μηδ' ἐξαπατήσω

19, 216: ὧν οὐδενὶ δεῖ παρακρουσθῆναι τήμερον ὑμᾶς.

19, 123: οὐκ ἐνῆν μὴ παρακρουσθέντων,

19, 318; εἰ μὴ παρεκρούσθητ', ἐποιήσατ' ἄν.

20, 88: καὶ οὐδὲν ἔσθ' ὅτι τοῦ παρακρούσασθαι καὶ φενακίσαι

Καὶ ἀλλαχοῦ.

Ἡ πρότασις „δυσχερὲς εἰπεῖν“ εὕρηται παρὰ

Δίων. τῷ Χρυσοστ. ἐν Ι 365, 15: „μὴ δυσχερὲς εἰπεῖν κ. τ. λ.", ἥτις ἀπαντᾷ καὶ παρὰ τῷ Δημοσθένει ἐν 18, 3: «οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου».

Ἔτι δὲ παρὰ Δίωνι τῷ Χρυσοστόμῳ ἀναγινώσκομεν ἐν Ι. 393, 8: τὴν πρότασιν «εἴ τις θεῶν φανερὸν ὑμῖν ποιήσοιε τὸ μέλλον αὖθίς ποτε λυπήσειν τὴν πόλιν» ἥτις μεγίστην ἐμφέρειαν ἔχει τῆς τοῦ Δημοσθ. ἐν 1, 1: «εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει».

Πρὸς δὲ τὸ ἐν 18, 1: χωρίον τοῦ Δημοσθένους μιμούμενος: „Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι κ. τ. λ"· λέγει ἐν Ι. 70, 23: «εὔχομαι δὲ τοῖς θεοῖς πᾶσι κ. τ. λ.» καὶ ἐν ΙΙ. 94. 19: «καὶ τοῖς θεοῖς εὔχομαι πᾶσι κ. τ. λ.

Παρὰ Δημοσθένει ἐν 1, 19 ἀναγινώσκομεν „τί οὖν σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά; μὰ Δί' οὐκ ἔγωγε"· κατὰ τοῦτο τὸ χωρίον λέγει Δίων ὁ Χρυσόστομος ἐν ΙΙ 131, 9: «τί οὖν; σὺ πρὸς Ὅμηρον καὶ Πυθαγόραν καὶ Ζήνωνα παραβάλλεις αὐτόν; Μὰ Δί' οὐκ ἔγωγε".

Ὁ Ξενοφῶν ἐν τοῖς Ἀπομν. 1, 1, 1· λέγει: «Ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων».

Τὸ Ξενοφώντειον τοῦτο χωρίον Δίων ὁ Χρυσόστομος μιμούμενος λέγει ἐν ΙΙ. 112, 14: «Ἀδικεῖ Δίων· τοὺς μὲν θεοὺς μὴ τιμῶν. μήτ' ἐν θυσίαις μήτ' ἐν ὕμνοις, καταλύων τὰς πατρίους ἑορτάς... διαφθείρων δὲ καὶ τὸν δῆμον κ. τ. λ »

Τελευταῖον τὴν ἐν τῷ ἐπιλόγῳ τοῦ κατὰ Κτησιφῶντος λόγου τοῦ Αἰσχίνου ἀναφώνησιν, «ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις καὶ παιδεία», μιμούμενος, ἀναφωνεῖ ἐν τῷ ΙΙ. 304, 27: „ὦ Γῆ καὶ Ἥλιε, Ἀλκιβιάδης πεπηρωμένος".

Printed in Greece

Gaylord Bros. Inc.
Makers
Stockton, Calif.
PAT. JAN. 21, 1908

745091

UNIVERSITY OF CALIFORNIA LIBRARY

UNIVERSITY OF CALIFORNIA LIBRARY
BERKELEY

Return to desk from which borrowed.
This book is DUE on the last date stamped below.

DEC 23 1947

DEC 8 1982

REC. CIR. DEC 03 '82

LD 21-100m-9,'47(A5702s16)476